Alterius fabulae, *Σισύφου Δραπέτου*, quae satyrica fuisse plerisque videtur, argumentum Welcker in iis positum fuisse arbitratur, quae tradidit Pherecyd. ap. Schol. Hom. Il. *ζ'*, 153. (fgm. 78. ed. Mueller). *Διὸς τὴν Ἀσωποῦ θυγατέρα Αἴγιναν ἀπὸ Φλιοῦντος εἰς Οἰνώνην διὰ τῆς Κορίνθου μεταβιβάσαντος, Σίσυφος ζητοῦντι τῷ Ἀσωπῷ τὴν ἁρπαγὴν ἐπιδεικνύει τέχνῃ, καὶ διὰ τοῦτο ἐπεσπάσατο εἰς ὀργὴν καθ' ἑαυτοῦ τὸν Δία. Ἐπιπέμπει οὖν αὐτῷ τὸν Θάνατον. ὁ δὲ Σίσυφος αἰσθόμενος τὴν ἔφοδον, δεσμοῖς κρατεροῖς ἀποδεσμοῖ τὸν Θάνατον. Διὰ τοῦτο οὖν συνέβη οὐδένα τῶν ἀνθρώπων ἀποθνήσκειν, ἕως ἂν αὐτὸν Ἄρης τῷ Θανάτῳ παρέδωκε, καὶ τὸν Θάνατον τῶν δεσμῶν ἀπέλυσε. πρὶν ἢ δὲ ἀποθανεῖν τὸν Σίσυφον, ἐντέλλεται τῇ γυναικὶ Μερόπῃ, τὰ νενομισμένα μὴ πέμπειν εἰς Ἅιδου. καὶ μετὰ χρόνον οὐκ ἀποδιδούσης τῷ Σισύφῳ τῆς γυναικός, ὁ Ἅιδης πυθόμενος, μεθίησεν αὐτόν, ὡς τῇ γυναικὶ μεμψόμενον. ὁ δὲ εἰς Κόρινθον ἀφικόμενος, οὐκέτι ὀπίσω ἄγει, πρὶν ἢ γηραιὸν αὐτὸν ἀποθανόντα * * κυλινδεῖν ἠνάγκασεν εἰς* (Villois. *ἐν*) *Ἅιδου λίθον, πρὸς τὸ μὴ πάλιν ἀποδρᾶναι.* Ad eam referenda esse dixit fragm. III—X, eaque argumento isti accomodare studuit. Sed vide quae de iis supra monuimus.

I. (217.)

Hesych. *Θώψεις, θωπεύσεις· Αἰσχύλος Σισύφῳ πετροκυλιστῇ* (cod. *σεισύφῳ πετρακυλισθείς.*)

II. (218.)

Schol. Aristoph. Pac. 73. *Αἰτναῖον μέγιστον κάνθαρον. — — μεγάλοι λέγονται εἶναι κατὰ τὴν Αἴτνην κάνθαροι. μαρτυροῦσιν δὲ οἱ ἐπιχώριοι. Ἐπίχαρμος ἐν Ἡρακλεῖ τῷ ἐπὶ τὸν ζωστῆρα „Πυγμαρίων λοχαγὸς ἐκ τῶν κανθάρων τῶν μειζόνων, οὕς φασι τὴν Αἴτνην ἔχειν." τρόπον δέ τινα καὶ Αἰσχύλος ἐπιχώριος· λέγει δὲ ἐν Σισύφῳ πετροκυλιστῇ*

Αἰτναῖός ἐστι κάνθαρος βίᾳ πονῶν.

Σοφοκλῆς (fgm. 166.) Codd. *πόνων*, quod Dindorfius correxit.

III. (219.)

Etym. Gud. p. 227, 38. Gramm. in Cram. An. Oxon. II. p. 443, 10. *Ζαγρεύς, ὁ μεγάλως ἀγρεύων· ὦ πότνια γῆ Ζαγρεῦ τε θεῶν πανυπέρτατε." τινὲς δὲ τὸν Ζαγρέα υἱὸν Ἅιδου φασίν, ὡς Αἰσχύλος ἐν Σκύφῳ* (sic Etym., Gram. Crameri verba *ἐν Σκ.* omittit) „*Ζαγρεῖ τε νῦν με* (Gram. Cram. *μοι*) *καὶ Πολυξένῳ χαίρειν.*" Welcker (Tril.

p. 556. adnot. 863.) voce χαίρειν ad vs. 2. relata Aeschylum dicit Ζαγρέα et Πολύξενον, quae aliis locis Hadis cognomina sint, pro personis induxisse. Quae sententia iis, quae grammaticus tradidit, plane repugnat; Aeschylus, si quid video, in hunc modum scripsit:

— *Ζαγρεῦ τε, νῦν με, παῖ Πολυξένου*
χαίρειν [*ἐᾶτε* vel similiter]

vel:

[*ὦ Περσεφόνη*] *Ζαγρεῦ τε, παῖ Πολυξένου,*
χαίρειν με νῦν [*ἐᾶτε . . .*]

Sisyphus enim a diis inferis petit, ut se in terram remittant ad uxorem mulctandam. — Vel, si rectius se habeat *μοί*:

Ζαγρεῦ τε, νῦν μοι χαῖρε, παῖ Πολυξένου.

Πολύξενος Pluto ipse dicitur in Aesch. Suppl. 148.

IV. (220.)

Pollux. X, 77. Ἔξεστι δὲ καὶ σκαφὴν ὀνομάσαι (sc. τὸ σκεῦος ᾧ τοὺς πόδας ἐναπονιπτόμεθα) κατ' Αἰσχύλον [που σκάφην] εἰπόντα ἐν Σισύφῳ

Καὶ νίπτρα δὴ χρὴ θεοφόρων ποδῶν φέρειν·
λεοντοβάμων ποῦ σκάφη χαλκήλατος;

cf. Pollux VII, 40. τὸ δὲ τῶν ποδῶν νίπτρον νίπτρα μὲν Αἰσχύλος κτλ. — Huc respexisse Welcker (l. c. p. 558.) censet Horatium Sat. II, 3, 20.

V. (221.)

Pollux. X, 20. Τὸν μὲν οὖν τοῦ παντὸς οἴκου δεσπότην ὅτι καὶ ναύκληρον καὶ ἑστιοπάμονα Δωρικῶς καὶ στέγαρχον καὶ στεγάνομον κλητέον, ἐπεὶ καὶ τὸ ἐνοίκιον οὐ ναῦλον μόνον ἀλλὰ καὶ στεγανόμιον, ἔχεις προειρημένον. παίζων δ' εἰ καὶ σταθμοῦχον αὐτὸν ἐθέλοις καλεῖν, ἐρεσχηλῶν τινὰ ἢ ἐκπειρώμενος, ὁ δὲ δεινὸς ὢν εἰς ὀνομάτων χρῆσιν λαμβάνοιτο τοῦ ῥήματος ὡς οὐκ ἂν εἴη δόκιμον, οὐδὲ σὺ μὲν ἂν αὐτὸ πάντῃ δόκιμον εἶναι νομίζοις, οὐ μέντοι οὐδὲ παντελῶς ἀδόκιμον. ὅτι δὲ ἐστιν εἰρημένον εἰ γνωρίζοις, φιλότιμος εἶναι δόξεις· εἴρηται τοίνυν ἐν Αἰσχύλου Σισύφῳ

σὺ δ' ὁ σταθμοῦχος εὖ κατιλλώψας ἄθρει.

Sic dedit Bekker nescio utrum codices an coniecturam Hemsterhusii secutus, ante quem legebatur: ἰδοῦ σταθμοῦχος ἐγκατήλλων φῶς ἄθρει. Pauwius scripsit: ἐγκατίλλων φῶς, Dindorfius et Friebelius Satyrogr. fragm. p. 139.) ἐγκατιλλώψας collat. Soph. fgm. 909. Sed respectis Aeschyli (Eum. 113.) verbis: ὑμῖν ἐγκατιλλώψας μέγα inducimur, ut Bekkeri scripturam praeferamus.

VI. (222.)

Aelian. Hist. An. XII, 5. Καὶ οἱ τὸν Ἁμαξιτὸν τῆς Τρωάδος κατοικοῦντες μῦς σέβουσιν· ἔνθεν τοι τὸν Ἀπόλλω τὸν παρ' αὐτοῖς τιμώμε-

μενον Σμίνθιον καλοῦσι. Ἔτι γὰρ καὶ τοὺς Αἰολέας καὶ τοὺς Τρῶας τὸν μῦν προσαγορεύειν σμίνθον, ὥσπεροῦν Αἰσχύλος ἐν τῷ Σισύφῳ

Ἀλλ' ἀρουραῖός τίς ἐστι σμίνθος ὧδ' ὑπερφυής.

Sic e libris dedit Iacobsius.

VII. (223.)

Erotian. p. 118. ed. Fr. Διόπῳ· τῷ τῆς νηὸς ἐπιμελητῇ παρὰ τὸ διοπτεύειν. Ἀττικὴ δὲ ἡ λέξις κειμένη καὶ παρ' Ἀριστοφάνει ἐν Ἀττικαῖς λέξεσι καὶ παρ' Αἰσχύλῳ ἐν Σισύφῳ καὶ παρ' Εὐριπίδῃ (fgm. 449.). cf. Pollux. VII, 139. διόπος δὲ ὁ ἐπόπτης τῆς νεώς. Cf. Aesch. Pers. 44. (Eur.) Rhes. 741. Adde Aesch. fgm. 257.

VIII. (224.)

Hesych. Ἄμβωνες. Cf. fgm. 99.

IX. X. (225.)

Etym. Gud. p. 321. Κίκυς, ἡ δύναμις. Ἀπολλόδωρος ἰκμάς — καὶ Αἰσχύλος ἐν Σισύφῳ „καὶ θανόντων εἰσὶν οὐκ ἐνεστιγμάσει τὰ σοὶ δ' οὐκ ἔνεστι κίκις οὐδ' αἱμόρρυτοι φλέβες θανόντων φησὶν ἀψύχοις." Hinc I. G. Schneider (Fragm. Pind. p. 106.) haec elicuit: καὶ θανόντων οἷσιν οὐκ ἔνεστι φθέγμα. collat. Hom. hymn. in Vener. 238. Τοῦ δή τοι φωνὴ ῥεῖ ἄσπετος οὐδ' ἔτι κίκυς. Iacobsius (Animadv. ad Eur. p. 187.) καὶ θανόντων οἷσιν οὐκ ἔνεστ' ἴγμα σκεπάστη δ' οὐκ ἔνεστι κίκυς. collat. Hesych. ἰγμή, βοή. Dindorfius: καὶ θανόντων οἷσιν οὐκ ἔνεστ' ἰκμασία (quae utrum grammatico an Aeschylo tribui voluerit non dixit) et Aeschyli: σοὶ δ' οὐκ ἔνεστι κίκυς οὐδ' αἱμόρρυτοι | φλέβες. Th. Bergkius (in Zimmermanni Diar. Antiqu. a. 1836. p. 75.) vero recte monuit, duo esse Aeschyli fragmenta, quae grammaticus ex more voce εἶτα coniunxerit, quorum alterum sic scribendum sit:

τῶν κατθανόντων οἷσιν οὐκ ἔνεστ' ἰκμάς.

alterum sic, ut Dindorfio placuit. Similiter statuit Bamberger (Coniect. in poet. gr. Brunsvig. 1841. p. 11.) Longe aliter autem locum constituit Cramer, qui, quum in Etymologico Parisino (vide eius Anecd. Gr. Paris, Vol. IV, p. 35, 21.) invenisset: καὶ Αἰσχύλος ἐν Σισύφῳ „καὶ θανόντων εἰσὶν οὐκέτι ἰμάσι τὰ σοι δ' οὐκ ἔστι κίκυς οὐδε αἱμόρρυτοι φλέβες· θανόντων φησὶ ἀψύχων. sic Aeschylum scripsisse opinatur:

θανόντι δ' οὐκέτ' ἔστιν ἰκμὰς ἴνεσιν,
οὐκ ἔστι κίκυς οὐδ' ἔθ' αἱματόρρυτοι
φλέβες —

coll. Odyss. λ', 392. — Quae coniectura quum nimis a codicum ductibus recedat, nos Bergkio auctore scribendum esse putamus: καὶ Αἰσχύλος ἐν Σισύφῳ·

[τῶν] κατθανόντων, οἷσιν οὐκ ἔνεστ' (vel οὐκέτ' ἔστ') ἰκμάς.

εἶτα·

σοὶ δ' οὐκ ἔνεστι κῖκυς οὐδ' αἱμόρρυτοι
φλέβες.

Vocem αἱμόρρυτος habet etiam Sophocles fgm. 129.

ΣΦΙΓΞ ΣΑΤΥΡΙΚΗ.

Satyricam fuisse hanc fabulam simulque cum Laio, Oedipode et Septem ad Thebas actam e didascalia cognoscitur, quam ad Laium attulimus. Argumentum autem nisi e titulo et fgm. II divinari non potest. Quum igitur de Sphinge haec tradiderit Apollod. III, 5, 8. Τούτου δὲ (sc. Κρέοντος) βασιλεύοντος οὐ μικρὰ συμφορὰ κατέσχε Θήβας. ἔπεμψε γὰρ Ἥρα Σφίγγα, ἣ μητρὸς μὲν Ἐχίδνης ἦν, πατρὸς δὲ Τυφῶνος. εἶχε δὲ πρόσωπον μὲν γυναικὸς, στῆθος δὲ καὶ βάσιν καὶ οὐρὰν λέοντος καὶ πτέρυγας ὄρνιθος· μαθοῦσα δὲ αἴνιγμά τι παρὰ Μουσῶν ἐπὶ τὸ Φίκειον ὄρος ἐκαθέζετο καὶ τοῦτο προὔτεινε Θηβαίοις. ἦν δὲ τὸ αἴνιγμα „τί ἐστιν ὃ μίαν ἔχον φωνὴν τετράπουν καὶ δίπουν καὶ τρίπουν γίνεται." Χρήσμου δὲ Θηβαίοις ὑπάρχοντος, τηνικαῦτα ἀπαλλαγήσεσθαι τῆς Σφιγγὸς, ἡνίκα ἂν τὸ αἴνιγμα λύσωσι, [καὶ] συνιόντες εἰς αὐτὸ πολλάκις ἐζήτουν τί τὸ λεγόμενόν ἐστιν. ἐπὰν δὲ μὴ εὕρισκον, ἁρπάσασα ἕνα κατεβίβρωσκε. πολλῶν δὲ ἀπολλυμένων καὶ τὸ τελευταῖον Αἵμονος τοῦ Κρέοντος, κηρύσσει Κρέων τῷ τὸ αἴνιγμα λύσοντι καὶ τὴν βασίλειαν καὶ τὴν Λαΐου δώσειν γυναῖκα. Οἰδίπους δὲ ἀκούσας ἔλυσεν εἰπὼν τὸ αἴνιγμα τὸ ὑπὸ τῆς Σφιγγὸς λεγόμενον ἄνθρωπον εἶναι· —— ἡ μὲν οὖν Σφὶγξ ἀπὸ τῆς ἀκροπόλεως ἑαυτὴν ἔρριψεν. — Sphingem satyris et Oedipo aenigmata proposuisse solvenda probabile est. Picturam in vase Neapolitano hinc haud dubie expressam descripsit O. Iahnius in Act. Soc. Liter. Saxon. a. 1847. p. 294.

I. (226.)

Athen. XV. p. 674. D. (allato fgm. 195 pergit.) καίτοι (καὶ ἔτι G. Hermann. de Aesch. trilog. Theb. p. 6. Opus. VII. p. 194.) ἐν τῇ ἐπιγραφομένῃ Σφιγγὶ εἰπὼν

Τῷ δὲ ξένῳ γε στέφανος, ἀρχαῖον στέφος,
δεσμῶν ἄριστος, ἐκ Προμηθέως λόγου.

Libri στέφανον, quod Grotius correxit. Deinde Heynius pro λόγου maluit λύγου, quod Hermannus l. c. probavit. Sed correctione haud quaquam opus est. Friebelius (Satyrogr. Gr. p. 140) maluit: τῷ δὲ ξένῳ γε στέψον ἀρχαῖον στέφος δεσμῶν ἄριστον ἐκ Προμηθέως λόγου quod satis est verbo tetigisse.

II. (227.)

Aristoph. Ran. 1286.

Σφίγγα δυσαμερίαν, πρύτανιν κύνα.

ubi Scholiastes: Σφίγγα δὲ δυσαμερίαν, τὴν ἐπὶ κακῷ χρόνῳ Θηβαίοις φανεῖσαν, πάροχον θανάτου. ταῦτα δὲ ἐκ Σφιγγὸς Αἰσχύλου. Th. Bergkius (in Zimmermanni Diar. Antiqu. a. 1836. p. 75.) bene corrigi iussit Σφίγγα, δυσαμεριᾶν vel δυσαμερίας πρ. κ. collat. Soph. fgm. 542. vs. 5., simulque comparavit Stesichor. fgm. 84. κοιλωνύχων ἵππων πρύτανις Ποσειδᾶν. Δυσαμεριᾶν scripsit etiam Fritzschius. De Sphinge similiter locutus est Soph. O. T. 391.

III. (228.)

Hesych. Κνοῦς· ὁ ἐκ τοῦ ἄξονος ἦχος. λέγεται δὲ καὶ κνόη· καὶ ὁ τῶν ποδῶν ψόφος, ὡς Αἰσχύλος Σφιγγί. Τινές τε φασίν, κνοῦν μὲν ἦχον, κνόην δὲ μέρος τοῦ ἄξονος ἢ χοίνικος. cf. Aesch. Sept. 356.

Τ Η Λ Ε Φ Ο Σ.

Ad huius dramatis argumentum facere schol. Aristoph. Ach. 332. τὰ δὲ μεγάλα πάθη ὑποπαίζει τῆς τραγῳδίας, ἐπεὶ καὶ ὁ Τήλεφος κατὰ τὸν τραγῳδοποιὸν Αἰσχύλον, ἵνα τύχῃ παρὰ τοῖς Ἕλλησι σωτηρίας, τὸν Ὀρέστην εἶχε συλλαβών. iam vidit Welcker (Tril. p. 562. Trag. Gr. p. 31.) Nam si cum his verbis Telephi Euripidei reliquiae, imprimis fgm. 701. sqq. comparantur, vix potest dubium esse, quin uterque poeta in fabulis eodem nomine inscriptis etiam idem argumentum tractaverit. Cuius summam sic expressit Hygin. fab. CI. „*Telephus, Herculis et Auges filius, ab Achille in pugna Chironis hasta percussus dicitur. Ex quo vulnere, quum in dies tetro cruciatu angeretur, petit sortem ab Apolline, quod esset remedium. Responsum est, ei neminem mederi posse, nisi eandem hastam, qua vulneratus erat. Hoc Telephus ubi audivit, ad regem Agamemnonem venit, et monitu Clytaemnestrae Orestem infantem de cunabulis rapuit, minitans, se eum occisurum, nisi sibi Achivi mederentur. Achivis autem quod responsum erat sine Telephi ductu Troiam capi non posse, facile cum eo in gratiam redierunt, et ab Achille petierunt, ut eum sanaret. Quibus Achilles respondit, se artem medicam non nosse. Tunc Ulysses ait, non te dicit Apollo, sed auctorem vulneris hastam nominat. Quam quum rasissent, remediatus est. A quo quum peterent, ut secum ad Troiam expugnandam iret non impetrarunt, quod is Laodicen Priami filiam uxorem haberet, sed ob beneficium, quod eum sanarunt, eos deduxit, locos autem et itinera demonstravit; inde in Mysiam est profectus.* Euripidis Telephus qualis fuisse videatur, suo loco ostendere conati sumus (cf. Eurip. Fragm. 354. sqq.); in quibus rebus autem Aeschylus ab eo discesserit, hodie vix explorabitur.

I. (229.)

Plato Phaedon. p. 108. A. ἔστι δὲ ἄρα ἡ πορεία οὐχ ὡς ὁ Αἰσχύλος λέγει. ἐκεῖνος μὲν γὰρ ἁπλῆν οἶμόν φησιν εἰς Ἅιδου φέρειν, ἡ δ' οὔτε ἁπλῆ οὔτε μία φαίνεταί μοι εἶναι. cf. Dionys. Hal. Rhet. VI, 5. (Vol. V. p. 265. Reisk. T. II. p. 40. ed. Lips.) Μία γὰρ καὶ ἡ αὐτὴ οἶμος κατὰ τὸν Αἰσχύλον εἰς Ἅιδου φέρουσα. Clem. Alex. Strom. IV, 7. § 45. p. 583. P. fin. οὐκ ἔστιν οὖν κατὰ τὸν Αἰσχύλον Τήλεφον νοεῖν ἁπλῆν οἶμον εἰς Ἅιδου φέρειν, ὁδοὶ δὲ πολλαὶ καὶ ἀπάγουσαι ἁμαρτίαι. πολυπλανεῖς τούτους, ὡς ἔοικε, τοὺς ἀπίστους διακωμῳδῶν Ἀριστοφάνης (Av. 685.) Inde hunc versum tanquam Aeschyleum expiscati sunt: ὁδοὶ δὲ πολλαὶ κἀπάγουσ' ἁμαρτίας. Sed vereor, ne haec Clementis ipsius sint, Aeschylus vero scripserit:

— Ἁπλῆ γὰρ οἶμος εἰς Ἅιδου φέρει.

II. (230.)

Hesych. Ἀμφιδέξιος χερσί· ταῖς τῶν τόξων, διὰ τὸ ἑκατέραν χεῖρα ἐνεργεῖν ἐν τῷ τοξεύειν. Αἰσχύλος Τηλέφῳ. cf. fgm. 254. vs. 2. Aliter Sophocles OC. 1114. OT. 1243.

Praeterea Timachidas huc rettulit fgm. 88.

Τ Ο Ξ Ο Τ Ι Δ Ε Σ.

Huius fabulae argumentum ad Actaeonis historiam pertinuisse e fragmentis bene intellexerunt G. Hermannus (de Aesch. Psychostasia. p. 4. Opusc. VII. p. 344.) et Droysenius (Aesch. II. p. 243.) ac nuper etiam concessit Welcker (Trag. Gr. p. 49.), quam antea (Tril. p. 430. sq. Append. p. 27. 291.) *Toxotides s. Penthesileam, Memnonem s. Psychostasiam et Nereides* tetralogiae vinculo, cuius argumentum ex Aethiopide (vid. Procli Chrestom. p. 583, a. in edit. Paris. Homeri) ductum fuisset, coniunctas esse dixisset. A vero igitur vix aberrabimus, si dramatis summam iis contineri statuerimus, quae memoriae tradidit Apollod. III, 4, 4. Αὐτονόης δὲ καὶ Ἀρισταίου παῖς Ἀκταίων ἐγένετο. ὃς τραφεὶς παρὰ Χείρωνι κυνηγὸς ἐδιδάχθη καὶ ὕστερον κατεβρώθη ἐν τῷ Κιθαιρῶνι ὑπὸ τῶν ἰδίων κυνῶν. καὶ τοῦτον τελεύτησε τὸν τρόπον, ὡς μὲν οὖν Ἀκουσίλαος λέγει, μηνίσαντος τοῦ Διὸς ὅτι ἐμνηστεύσατο Σεμέλην, ὡς δὲ οἱ πλείονες, ὅτι τὴν Ἄρτεμιν λουομένην ἴδε. καί φασι τὴν θεὸν παραχρῆμα αὐτοῦ τὴν μορφὴν εἰς ἔλαφον ἀλλάξαι καὶ τοῖς ἑπομένοις αὐτῷ πεντήκοντα κυσὶν ἐμβαλεῖν λύσσαν, ὑφ' ὧν κατὰ ἄγνοιαν ἐβρώθη. ἀπολομένου τοῦ Ἀκταίονος οἱ κύνες ἐπιζητοῦντες τὸν

δεσπότην κατωρύοντο, καὶ ζήτησιν ποιούμενοι παρεγένοντο ἐπὶ τὸ τοῦ Χείρωνος ἄντρον, ὃς εἴδωλον κατεσκεύασεν Ἀκταίονος, ὃ καὶ τὴν λύπην αὐτῶν ἔπαυσεν. cf. Hygin. fab. CLXXXI. Ovid. Metam. III. 138. sqq. Τοξότιδας nymphas, Dianae comites, fuisse probabiliter Hermannus coniecit. Eorum, qui fabulam satyricam fuisse dicunt (quibus nuper accessit Friebelius Satyr. Gr. fragm. p. 130.) sententiam redarguit Welcker (Append. ll. cc.). In ea autem Aeschylum mystica vulgasse testis est Eustratius, cuius verba ad Ἱερείας attulimus. Actaeonis personam attigit Pollux IV, 141. τὰ δ' ἔκσκευα πρόσωπα Ἀκταίων ἐστὶ κερασφόρος κτλ.

I. (231.)

Phrynichus Bekkeri I. p. 351, 4. Bachm. An. Gr. I. p. 38, 29. Ἄθηρος ἡμέρα — Αἰσχύλος ἐν Τοξότισι (cod. τοξότησι) — ἐπὶ Ἀκταίωνος

Οὔπω τις Ἀκταίων' ἄθηρος ἡμέρα
κενὸν πόνου πλουτοῦντ' ἔπεμψεν ἐς δόμους.

Versum 2 non expedio. Fortasse poeta scripsit κενὸν πόνου (malim φόνου: nam πόνος, quamvis saepius pro eo, quod labore efficitur, ponatur, tamen tam nude positum vix potest intelligi.) πλούτου τ' ἔπεμψεν ἐς δόμους. Πλούτου pro ἄγρας dictum esse facile intelligitur. Dindorfius Aeschylum Ἀκτέων' scripsisse ait, fortassis recte. cf. Eurip. fgm. 90. Sed vid. Eur. Bacch. 1292. Οὗπερ πρὶν Ἀκταίωνα διέλαχον κύνες.

II. III. (232.)

Antigon. Caryst. hist. mirab. c. 127. p. 174. (p. 88, 13 in Westermanni Script. paradoxogr.) Τῶν δὲ θηλέων ζώων τροπικώτερόν φησιν εἶναι πρὸς τὴν συνουσίαν ἵππον — φαίνεται δὲ καὶ Αἰσχύλος ἱστορικῶς τὸ τοιοῦτον οὕτως πως εἰρηκέναι πρὸς τὰς παρθένους ἐν ταῖς Τοξότισιν

Ἄδων ταῖς ἁγναῖς παρθένοις γαμηλίων
λέκτρων αστει μη βλεμμάτων ρεπιβουλη.

καὶ διαλιπὼν προσέθηκεν

Νέας γυναικὸς οὔ με μὴ λάθῃ φλέγων
ὀφθαλμός, ἥτις ἀνδρὸς ᾖ γεγευμένη.
ἔχων δὲ τούτων θυμὸν ἱππογνώμονα.

Sic libri, nisi quod verba νέας γυναικὸς e Plutarcho et grammatico quodam Crameri, qui huc respexerunt, adiecta sunt. Ille enim de profect. in virtute 10. p. 81. D. haec habet quae exscripsit grammaticus in Cram. An. Gr. Paris. I. p. 399, 24.: νέας μὲν γὰρ γυναικός, ὡς Αἰσχύλος φησὶν, οὐ λανθάνει φλέγων ὀφθαλμὸς, ἥτις ἀνδρὸς ᾖ γεγευμένη. et Amator. 21, 5. p. 767. B. καὶ γὰρ ὀρθῶς Αἰσχύλος ἐποίησε „νέας γυναικος οὔ με μὴ λάθῃ φλέγων ὀφθαλμὸς ἥτις ἀνδρὸς ᾖ γεγευμένη." Vario modo viri docti versibus sat corruptis mederi conati sunt. Salmasius scripsit: Ἄδην γὰρ ἁ. π. γ. λ. ἀτρέπτη βλεμμάτων ῥέπει βολή. Pauwius: Ἄδων τάδ' — — ἄνειμι βλεμμάτων γ' ἐπηβόλος. Valcke-

narius (ad Eur. Phoen. 953.) *γάμων γὰρ — — ἀπειθὴς βλεμμάτων ῥέπει βολή.* Heathius: *Αἰδὼς γὰρ — — ἀπείροις, βλεμμάτων πρέπει βολῇ.* Toupius (Emend. in Suid. III. p. 135.): *Κάτω γὰρ — — ἀγεύστοις βλεμμάτων ῥέπει βολή*, quod Ahrens recepit. Emperius (Opusc. p. 230.) *Μᾶλλον τις — — ταπεινῇ βλ. ῥ. βολῇ* id requiri dicens verbis *οὔ με μὴ λάθῃ κτλ.* Teucher (ad Apollon. Dysc. p. 83.) *Ἴδων τάδ' — — ἄπειμι βλεμμάτων ἔπη βολῇ.* Friebelius l. c. p. 132. *Λάθρᾳ τις — — ποθεινὴ βλεμμάτων ῥ. β.* Mihi receptis coniecturis *αἰδὼς* et *ἀγεύστοις* scribendum videtur:

Αἰδοῖ γὰρ ἁγναῖς παρθένοις γαμηλίων
λέκτρων ἀγεύστοις βλεμμάτων ῥέπει βολή.

h. e. *pudore enim apud castas virgines, nuptialis tori inexpertas, oculorum obtutus demittitur.* Scribi etiam possit: *αἰδοῖος ἁγναῖς κτλ.* — In fgm. III. vs. 3. Salmasius bene correxit *ἔχω*, sed vix recte Antigono Carystio et Aristot. hist. anim. VI. 18. ducibus in verbis *θυμὸν ἱππογνώμονα* metaphoram ab equabus sumtam esse statuit, quae admodum pronae essent ad coitum. Hoc sensit etiam Schuetzius, sed quod *ἱππογνώμων* nihil aliud significare dicit atque *μεγαλογνώμων* comico scil. et iocoso vocis usu, id vel multo improbabilius est. Longe alienus ab hoc loco est iocus: loquitur enim, si quid video, Diana. *Ἱππογνώμων* serio dictum est sicut *προβατογνώμων* (Agam. 769.) ac bene a Wellauero explicatum *„ad intelligendum et dignoscendum valde idoneus, ut qui peritus est artis, equorum aetatem diiudicandi.“* Ceterum verba *θυμὸν ἱππογνώμονα* hinc attulit Etym. M. p. 209, 48. 474, 45.

IV. (233.)

Schol. Hom. Il. ι, 593. *Ὁ δὲ Αἰσχύλος ἐπὶ τοῦ διαφθείρειν ψιλῶς τέταχε (τὸ ἀμαθύνειν) περὶ τοῦ Ἀκταίωνος λέγων*

Κύνες διημάθυνον ἄνδρα δεσπότην.

Apte locum huc rettulit Blomfieldus (Gloss. ad Aesch. Ag. 797.) cf. Eur. Bach. 1292. (vid. ad fgm. I.)

V. (234.)

Pollux. V, 47. *Τὰ μὲν δὴ τῶν Ἀκταίονος κυνῶν ὀνόματα κατὰ τὴν Αἰσχύλου δόξαν, Κόραξ, Ἅρπυια, Χάρων, Λυκόττας.* cf. Hygin. l. c.

VI. (235.)

Hesych. *Πεζοφόροις ζώμασιν· Αἰσχύλος Τοξότισιν, ὥσπερ πέζαν ἐχόντων τῶν χιτώνων, τινὲς δὲ ποδήρεσι.* cf. Pollux. VII, 51. *τὸ δὲ ζῶμα ἔστι μὲν ἐπιτήδειον ἐνδῦναι, πέζας δὲ ἔχει, ὡς Αἰσχύλος δηλοῖ, πεζοφόρα τὰ ζώματα ἀποκαλῶν.*

ΤΡΟΦΟΙ. Vide *ΔΙΟΝΥΣΟΥ ΤΡΟΦΟΙ.*

ΥΨΙΠΥΛΗ.

G. Hermannus (de trilog. Theb. p. 16. Opusc. VII. p. 206.) hanc fabulam in eadem tetralogia cum *Nemea* fuisse et ea continuisse coniecit, quae narravit Apollod. III, 6, 4. quaeque etiam Euripides postea in Hypsipyla repraesentavit. (cf. Eurip. Fgm. p. 373.) Sed huic sententiae obstat fragm. I., quippe ex quo Argonautas in hac fabula ad Lemnum insulam appulisse et cum Lemniis se miscuisse appareat. Veri igitur est simillimum, argumenti summam iis contineri, quae tradidit Hygin. fab. XV. „*In insula Lemno mulieres Veneri sacra aliquot annos non fecerant, cuius ira viri earum Thressas uxores duxerunt et priores spreverunt. At Lemniades eiusdem Veneris impulsu coniuratae genus virorum omne, quod ibi erat, interfecerunt, praeter Hypsipylen, quae patrem suum Thoantem clam in navem imposuit, quem tempestas in insulam Tauricam detulit. Interim Argonautae praeternavigantes Lemno accesserunt. Quos ut vidit Iphinoe, custos portae, nunciavit Hypsipylae reginae; cui Polyxo aetate constituta dedit consilium, ut eos laribus hospitalibus obligaret hospitioque invitaret. Hypsipyle ex Iasone procreavit Euneum et Deiphilum. Ibi cum plures dies retenti essent, ab Hercule obiurgati discesserunt.*“ cf. Apollod. I, 9, 17. Qua ratione Aeschylus hoc argumentum conformaverit, plane incertum est; nam quod viri docti coniiciunt (vide ad *Cabiros*), *Hypsipylen* cum *Argone* et *Cabiris* in eadem tetralogia fuisse, nullo alio quam coniecturae nititur fundamento.

I. (236.)

Schol. Apollon. Rhod. I, 773. Ὅτι δὲ ἐμίγησαν οἱ Ἀργοναῦται ταῖς Λημνίαις Ἡρόδωρος ἱστορεῖ ἐν τοῖς Ἀργοναυτικοῖς. Αἰσχύλος δ' ἐν Ὑψιπύλῃ ἐν ὅπλοις φησὶν αὐτὰς ἐπελθούσας χειμαζομένοις τοῖς Ἀργοναύταις [μὴ ἐᾶν προσχεῖν τῇ νήσῳ,], μέχρις οὗ ὅρκον ἔλαβον παρ' αὐτῶν ἀποβάντας (codd. ἀποβᾶσι) μιγήσεσθαι αὐταῖς. (Cod. Paris. ἅμα τε ἀποβῆναι αὐτοὺς τῆς νεὼς καὶ συγγενέσθαι αὐταῖς· καὶ οὕτως ἀποβῆναι ἐᾶσαι.) Σοφοκλῆς δὲ (fgm. 359.)

II. (237.)

Cf. fragm. 203.

III. (238.)

Hesych. Ἀποκορσωσαμέναις· ἀποκειραμέναις· κόρσας γὰρ τὰς τρίχας. Αἰσχύλος Ὑψιπύλῃ.

Φ Ι Λ Ο Κ Τ Η Τ Η Σ.

Quod praeclare a Sophocle in Philocteta superstite tractatum est argumentum, idem iam ante eum ab Aeschylo in scenam esse productum ex fragmentis luculenter intelligitur. Sed quum ex iis non simul de fabulae conformatione ac dispositione liqueat, perop portune accidit, ut ea de re pauca nobis tradiderit Dio Chrysostomus oratione (LII), qua inter se comparavit Aeschyli, Sophoclis et Euripides Philoctetas. Cuius verba haec sunt (p. 267. R. p. 629. Emper.): *ἥ τε γὰρ τοῦ Αἰσχύλου μεγαλοφροσύνη καὶ τὸ ἀρχαῖον, ἔτι δὲ τὸ αὔθαδες τῆς διανοίας καὶ φράσεως πρέποντα ἐφαίνετο τραγῳδίᾳ καὶ τοῖς παλαιοῖς ἤθεσι τῶν ἡρώων. οὐδὲν ἐπιβεβουλευμένον οὐδὲ στωμύλον οὐδὲ ταπεινόν. ἐπείτοι καὶ τὸν Ὀδυσσέα εἰσῆγε δριμὺν καὶ δόλιον, ὡς ἐν τοῖς τότε, πολὺ δὲ ἀπέχοντα τῆς νῦν κακοηθείας, ὥστε τῷ ὄντι ἀρχαῖον ἂν δόξαι παρὰ τοὺς νῦν ἁπλοῦς εἶναι βουλομένους καὶ μεγαλόφρονας. καὶ οὐδέν γε ἀλλαττούσης τῆς Ἀθηνᾶς προσεδεήθη πρὸς τὸ μὴ γνωσθῆναι ὅστις ἐστὶν ὑπὸ τοῦ Φιλοκτήτου, καθάπερ Ὅμηρος κἀκείνῳ δὴ ἑπόμενος Εὐριπίδης ἐποίησεν. ὥστε τυχὸν ἄν τις ἐγκαλέσαι τῶν οὐ φιλούντων τὸν ἄνδρα, ὅτι οὐδὲν αὐτῷ ἐμέλησεν, ὅπως πιθανὸς ἔσται ὁ Ὀδυσσεὺς οὐκ ἐπιγιγνωσκόμενος ὑπὸ τοῦ Φιλοκτήτου. ἔχοι δ' ἂν ἀπολογίαν, ὡς ἐγῷμαι, πρὸς τὸ τοιοῦτον. ὁ μὲν γὰρ χρόνος τυχὸν οὐκ ἦν τοσοῦτος, ὥστε μὴ ἀνενεγκεῖν τὸν χαρακτῆρα, δέκα ἐτῶν διαγεγονότων. ἡ δὲ νόσος ἡ τοῦ Φιλοκτήτου καὶ κάκωσις καὶ τὸ ἐν ἐρημίᾳ βεβιωκέναι τὸν μεταξὺ χρόνον οὐκ ἀδύνατον τοῦτο ἐποίει. πολλοὶ γὰρ ἤδη, οἱ μὲν ὑπὸ ἀσθενείας, οἱ δὲ ὑπὸ δυστυχίας, ἔπαθον αὐτό. καὶ μὴν ὁ χορὸς αὐτῷ παραιτήσεως, ὥσπερ ὁ τοῦ Εὐριπίδου, οὐδὲν ἐδεήθη. ἄμφω γὰρ ἐκ τῶν Λημνίων ἐποίησαν τὸν χορόν. ἀλλ' ὁ μὲν Εὐριπίδης εὐθὺς ἀπολογουμένους πεποίηκε περὶ τῆς πρότερον ἀμελείας, ὅτι δὴ τοσούτων ἐτῶν οὔτε προσέλθοιεν πρὸς τὸν Φιλοκτήτην οὔτε βοηθήσειαν οὐδὲν αὐτῷ· ὁ δ' Αἰσχύλος ἁπλῶς εἰσήγαγε τὸν χορὸν ὃ τῷ παντὶ τραγικώτερον καὶ ἁπλούστερον. καὶ γὰρ εἰ μὲν ἐδύναντο πάσας διαφεύγειν τὰς ἀλογίας ἐν ταῖς τραγῳδίαις, ἴσως ἂν εἶχε λόγον μηδὲ τοῦτο παραπέμψαι. νῦν δὲ πολλάκις ἐν μιᾷ ἡμέρᾳ παραγιγνομένους ποιοῦσι τοὺς κήρυκας πλειόνων ἡμερῶν ὁδόν. ἔπειτα οὐδὲ ἐξ ἅπαντος ἦν μήτε προσελθεῖν αὐτῷ μηδένα Λημνίων μήτε ἐπιμεληθῆναι μηδέν. δοκεῖ γάρ μοι οὐδ' ἂν διεγένετο τὰ δέκα ἔτη μηδεμιᾶς τυγχάνων βοηθείας· ἀλλ' εἰκὸς μὲν τυγχάνειν αὐτὸν, σπανίως δὲ καὶ οὐδενὸς μεγάλου, καὶ μηδένα αἱρεῖσθαι οἰκίᾳ ὑποδέξασθαι καὶ νοσηλεύειν διὰ τὴν δυσχέρειαν τῆς νόσου. αὐτὸς γοῦν ὁ Εὐριπίδης τὸν Ἄκτορα εἰσάγει, ἕνα Λημνίων, ὡς γνώριμον τῷ Φιλοκήτῃ προσιόντα καὶ πολλάκις συμβεβληκότα. οὐ τοίνυν οὐδὲ ἐκεῖνο δοκεῖ μοι δικαίως ἄν τις αἰτιάσασθαι, τὸ διηγεῖσθαι πρὸς τὸν χορὸν, ὡς ἀγνοοῦντα τὰ περὶ τὴν ἀπόλειψιν τὴν τῶν Ἀχαιῶν καὶ τὰ καθόλου συμβαίνοντα αὐτῷ. οἱ γὰρ δυστυχοῦντες ἄνθρωποι πολλάκις εἰώθασι μεμνῆσθαι, τῶν συμφορῶν καὶ τοῖς εἰδόσιν ἀκριβῶς καὶ μηδὲν δεομένοις ἀκούειν ἐνοχλοῦσιν ἀεὶ διηγούμενοι. καὶ μὴν ἡ ἀπάτη ἡ τοῦ Ὀδυσσέως πρὸς τὸν Φιλοκτήτην καὶ οἱ λόγοι, δι' ὧν προσηγάγετο αὐτὸν, οὐ μόνον εὐσχημονέστεροι καὶ ἥρωι πρέποντες, ἀλλ' οὐκ Εὐρυβάτῳ ἢ Παταικίωνι, ἀλλ', ὡς ἐμοὶ δοκοῦσι, καὶ πιθανώτεροι. τί γὰρ ἔδει ποικίλης τέχνης καὶ ἐπιβουλῆς πρὸς ἄνδρα νοσοῦντα, καὶ ταῦτα τοξότην, ᾧ εἴ τις*

μόνον ἐγγυς παρέστη, ἀχρεῖος ἡ ἀλκὴ αὐτοῦ ἐγεγόνει; καὶ τὸ ἀπαγγέλλειν δὲ τὰς τῶν Ἀχαιῶν συμφορὰς καὶ τὸν Ἀγαμέμνονα τεθνηκότα καὶ τὸν Ὀδυσσέα ἐπ' αἰτίᾳ ὡς οἷόντε αἰσχίστῃ καὶ καθόλου τὸ στράτευμα διεφθαρμένον οὐ μόνον χρήσιμον, ὥστε εὐφρᾶναι τὸν Φιλοκτήτην καὶ προσδέξασθαι μᾶλλον τὴν τοῦ Ὀδυσσέως ὁμιλίαν, ἀλλ' οὐδ' ἀπίθανον τρόπον τινὰ διὰ τὸ μῆκος τῆς στρατείας καὶ διὰ τὰ συμβεβηκότα οὐ πάλαι κατὰ τὴν ὀργὴν τὴν τοῦ Ἀχιλλέως, ὅθ' Ἕκτωρ παρὰ σμικρὸν ἦλθεν ἐμπρῆσαι τὸν ναύσταθμον. His adde quae de *Euripidis* fabula dixit (p. 272. R. p. 632. Emp.): *οὐ μόνον δὲ πεποίηκε τὸν Ὀδυσσέα παραγιγνόμενον, ἀλλὰ μετὰ τοῦ Διομήδους· Ὁμηρικῶς καὶ τοῦτο.* Quum neque haec nec fragmenta sufficerent ad drama Aeschyli penitus cognoscendum, G. Hermannnus (in diss. de Aesch. Philocteta. Lips. 1825. Opusc. III, p. 113. sq.) ex Philocteta Attii, a quo Aeschyli fabulam imitatione expressam esse sibi persuasit, quotquot eius supersunt fragmenta congessit, emendavit ac disposuit, ut lucem illi afferet. Sed quamvis de plerisque, ut eius mos fuit, ingeniose disputaverit, tamen non effecit, quod voluit, ac nonnulla protulit, quae dubitationem moveant[15]); quid quod illud ipsum, quod Hermannus (correcto loco Quinct. V, 10, 84) pro certo statuit, Attii Philoctetam ex Aeschyli fabula esse translatam, haud temere negarunt, quamquam ipsi inter se dissentientes, Hartungus (Eurip. restit. I. p. 348.), Ladewigius (Anal. scen. p. 3.), Schneidewinus (in Philologo IV. p. 650. sq.). Quam ob rem nos, quum disquisitio ea de re nimis late pateat ac fortasse ne fructuosa quidem sit, ab ea abstinuimus et Attii fragmenta omisimus, praesertim quum vel iis adhibitis Aeschyli fabulam non multum proficere videremus.

I. (239.)

Aristoph. Ran. 1383.

Σπερχειὲ ποταμὲ βούνομοί τ' ἐπιστροφαί.

ubi schol. *ὑπὸ βοῶν καταστρεφόμεναι ἤγουν κατανεμόμεναι. ἔστι δὲ ἐκ Φιλοκτήτου Αἰσχύλου.* Hermannus hoc versu nisi totius fabulae, certe actus exordium contineri suspicatur.

II. (240.)

Athen. IX. p. 394. A. (allato fgm. 202 pergit:) *κἀν Φιλοκτήτῃ δὲ κατὰ γενικὴν κλίσιν φαβῶν εἴρηκεν.*

III. (241.)

Schol. Hom. Od. ξ', 12. *Ὁ δὲ Κράτης τὴν τῶν δασυτάτων φυτῶν μελάνδρυόν φησιν, ὡς καὶ Αἰσχύλος φησὶ Φιλοκτήτῃ*

Κρεμάσασα τόξον πίτυος ἐκ μελανδέτου.

---

15) Negavit v. c. Hermannus, quod Dio apertis verbis tradidit, Ulixem solum Philoctetae abducendi causa venisse.

Eustath. p. 1748, 57. habet κρεμάσας· Hermannus l. c. p. 121. corrigit κρεμαστὰ τόξα. Sed malim κρεμάσας τὰ τόξα vel κρεμάσας τὸ τόξον, nam τὸ propter sequens τό facile excidere potuit.

IV. (242.)

Aristot. Poet. c. 37. (c. 22, 13. Herm.) Τὸ αὐτὸ ποιήσαντος ἰαμβεῖον Αἰσχύλου καὶ Εὐριπίδου, ἓν δὲ μόνον ὄνομα μεταθέντος ἀντὶ κυρίου εἰωθότος γλῶτταν, τὸ μὲν φαίνεται καλὸν, τὸ δὲ εὐτελές. Αἰσχύλος μὲν γὰρ ἐν τῷ Φιλοκτήτῃ ἐποίησε

Φαγέδαιναν, ἥ μου σάρκας ἐσθίει ποδός.

ὁ δὲ ἀντὶ τοῦ ἐσθίει τὸ θοινᾶται μετέθηκε.

V. (243.)

Plut. non posse suav. viv. sec. Epic. 3. p. 1087. F. καὶ ὁ χρόνος ὁ μὲν τούτων (sc. τῶν ἡδονῶν) οὐ πολὺς, ἀλλ' ὥσπερ οἱ διάττοντες, ἔξαψιν ἅμα καὶ σβέσιν ἐν τῇ σαρκὶ λαμβάνουσιν. ἐκ δὲ τοῦ πόνου μάρτυς ὁ Αἰσχύλου Φιλοκτήτης λέγων· „οὐ γὰρ ὁ δράκων, φησὶν, ἀνῆκεν, ἀλλ' ἐνῴκισε δεινὴν στομάτων ἔκφυσιν ποδὸς λαβεῖν. Haec sic correxit Valckenarius (Diatr. Eur. p. 128.): οὐ γὰρ ὁ δράκων ἐνῆκεν, ἀλλ' ἐνῴκισε δεινήν γε στόματος ἔκφυσιν ποδὸς λαβών. Musgravius: οὐ γὰρ δακὼν ἀνῆκεν, ἀλλ' ἐνῴκισε δεινῶν γε τομέων ἔκφυσιν, ποδὸς λαβών. Jacobius (ad Anth. Gr. II. pt. 2, p. 497.) ὁ γὰρ δράκων ἐνῴκισε δεινὴν ὀδόντων ἔκφυσιν, ποδὸς λαβών. G. Hermannus l. c. p. 122:

οὐ γὰρ δράκων ἐνῆκεν, ἀλλ' ἐνῴκισεν
δεινὴν στομωτὸν ἔκφυσιν, ποδὸς λαβών.

Schneidewius autem l. c. subtilem illam inter ἐνεῖναι et ἐνοικίσαι antithesim potius Euripidi, quam Aeschylo convenire dicens, quum in codd. esset ἀνῆκεν — — λαβεῖν, scribi iussit:

οὐ γὰρ δακὼν ἀνῆκεν, ἀλλ' ἐνῴκισεν
δεινὴν στομωτὸν ἔκφυσιν, ποδὸς βλάβην.

quod mihi quoque probabilius videtur, nisi forte locus vel graviori malo laborat. Plutarchus enim: „voluptatem in corpore non diu valere ac remanere, dolorem vero quasi infixum haerere" dicere ac suam de dolore sententiam Aeschyli verbis demonstrare voluit. Unde δράκων (quae vox iam per se offendit nec facile explicari potest) ἐνῆκεν falsa esse intelligitur: ἀνῆκεν et ἐνῴκισεν pertinent ad omissum *doloris* vocabulum, cuius loco Plutarchus dedit πόνος cuique orationem Aeschyleam accommodavit.

VI. (244.)

Suid. s. v.

Ἔνθ' οὔτε μίμνειν ἄνεμος οὔτ' ἐκπλεῖν ἐᾷ

ἐπὶ τῶν δυσχρήστοις παραπεσόντων τοῦτο λέγεται. φησὶ δὲ αὐτὸ παρ' Αἰσχύλῳ ὁ Φιλοκτήτης. Versus in proverbium abiit. cf. Plut. de tranqu. anim. c. 18. p. 476. B. Diogenian. IV, 88. Mich. Apostol. VII, 22. ed. Leutsch. Gregor. Cypr. Leid. II, 13. ed. Leutsch.

VII. (245.)

Maxim. Tyr. Diss. XIII, F. p. 241. Reisk.

Ὦ πούς, ἀφήσω σε;

ὁ Φιλοκτήτης λέγει. Ἄνθρωπε, ἄφες, καὶ μὴ βόα, μηδὲ λοιδοροῦ τοῖς φιλτάτοις, μηδὲ ἐνόχλει τὴν Λημνίων γῆν.

Ὦ θάνατε Παιάν.

εἰ μὲν ταῦτα λέγεις ἀλαττόμενος κακὸν κακοῦ, οὐκ ἀποδέχομαι τῆς εὐχῆς. εἰ δὲ ἡγεῖ τὸν θάνατον παιᾶνα εἶναι καὶ ἀπαλλακτὴν κακοῦ καὶ ἀπλήστου καὶ νοσεροῦ θρέμματος, ἡγεῖ καλῶς· εὔχου καὶ κάλει τὸν παιᾶνα.

VIII. (246.)

Stob. CXX, 12. Αἰσχύλου.

Ὦ Θάνατε Παιάν, μή μ' ἀτιμάσῃς μολεῖν.
μόνος γὰρ εἶ σὺ τῶν ἀνηκέστων κακῶν
ἰατρός, ἄλγος δ' οὐδὲν ἅπτεται νεκροῦ.

Ex Philocteta petitum esse patet ex fgm. VII. — Vs. 3 etiam Plut. Consol. ad Apollon. 15. p. 109. F. sine poetae et fabulae nomine attulit. Ad sententiam cf. Soph. fgm. 652.

IX. (247.)

Phot. p. 326, 9. Ὀκόρνους· τοὺς πάρνοπας. Αἰσχύλος Φιλοκτήτῃ. οἱ δὲ Ἴωνες ἀττελέβους. cf. Hesych. Ὀκόρνους· τοὺς ἀττελέβους· καὶ τὰ ὀκριώδη οὕτω λέγουσιν.

G. Hermannus praeterea huc rettulit fgm. 297.

Φ Ι Ν Ε Υ Σ.

Phineum veteris fab. Aesch. catalogi auctor omisit: atqui fabula haudquaquam in dubitationem vocanda est, quum et Stobaeus duos versus ex ea servarit et ex didascalia ad Persas (quam ad Glaucum adscripsimus) eam simul cum Persis scenae commissam esse appa-

reat. Cuius quale fuerit argumentum, fragmentis veterumque scriptorum testimoniis destituti nisi e titulo divinare non possumus. Itaque viri docti (Welcker Trilog. p. 478. Mus. Rhenan. 1837. p. 225. sq. Klausen. Theologum. Aesch. p. 181. sq. Droysen. Aesch. II. p. 4. sq. 54. sq. Grupp. Ariadn. p. 92. sqq. 625. Preller de Aesch. Persis. p. 13. sq.) huc rettulerunt, quae narravit Apollod. I, 9, 21. Ἐντεῦθεν ἀναχθέντες (οἱ Ἀργοναῦται) καταντῶσιν εἰς τῆς Θρᾴκης Σαλμυδησσὸν, ἔνθα ᾤκει Φινεὺς μάντις τὰς ὄψεις πεπηρωμένος. τοῦτον οἱ μὲν τὸν Ἀγήνορος εἶναι λέγουσιν, οἱ δὲ Ποσειδῶνος υἱόν. καὶ πηρωθῆναί φασιν αὐτὸν οἱ μὲν ὑπὸ θεῶν, ὅτι προὔλεγε τοῖς ἀνθρώποις τὰ μέλλοντα, οἱ δὲ ὑπὸ Βορέου καὶ τῶν Ἀργοναυτῶν, ὅτι πεισθεὶς μητρυιᾷ τοὺς ἰδίους ἐτύφλωσε παῖδας, τινὲς δὲ ὑπὸ Ποσειδῶνος, ὅτι τοῖς Φρίξου παισὶ τὸν ἐκ Κόλχων εἰς τὴν Ἑλλάδα πλοῦν ἐμήνυσεν. ἔπεμψαν δὲ αὐτῷ καὶ τὰς Ἁρπυίας οἱ θεοί. πτερωταὶ δὲ ἦσαν αὗται καὶ ἐπειδὰν τῷ Φινεῖ παρετίθετο τράπεζα, ἐξ οὐρανοῦ καθιπτάμεναι τὰ μὲν πλείονα ἀνήρπαζον, ὀλίγα δὲ ὅσα ὀσμῆς ἀνάπλεα κατέλειπον, ὥστε μὴ δύνασθαι προσενέγκασθαι. βουλομένοις δὲ τοῖς Ἀργοναύταις τὰ περὶ τοῦ πλοῦ μαθεῖν ὑποθήσεσθαι τὸν πλοῦν ἔφη, τὸν Ἁρπυιῶν αὐτὸν ἐὰν ἀπαλλάξωσιν. οἱ δὲ παρέθεσαν αὐτῷ τράπεζαν ἐδεσμάτων, Ἅρπυιαι δὲ ἐξαίφνης σὺν βοῇ καταπτᾶσαι τὴν τροφὴν ἥρπαζον. θεασάμενοι δὲ οἱ Βορέου παῖδες, Ζήτης καὶ Κάλαϊς, ὄντες πτερωτοί, σπασάμενοι τὰ ξίφη δι' ἀέρος ἐδίωκον. — — ἀπαλλαγεὶς δὲ τῶν Ἁρπυιῶν Φινεὺς ἐμήνυσε τὸν πλοῦν τοῖς Ἀργοναύταις καὶ περὶ τῶν Συμπληγάδων ὑπέθετο πετρῶν τῶν κατὰ θάλασσαν. Haec Aeschylum sic in usum suum vertisse statuunt, ut Phineum non modo Argonautis de itinere exponentem, sed etiam de Persarum rebus vaticinantem et oracula, ad quae in Persis (vs. 739.) respexerit Darii simulacrum, edentem introduxerit. Sed vereor ut his argumentum tragoediae aptum contineatur. Quod in iis tantum latere mihi videtur, quae de Phineo tradiderunt Apollod. III, 15, 3. Asclepiad. ap. schol. Hom. Od. μ', 99. Schol. Apoll. Rhod. II, 177. quaeque etiam Sophocles in duabus fabulis (de quibus infra dictum) in scenam produxit. De ratione autem, qua id Aeschylus tractaverit, nihil compertum habemus.

I. (248.)

Athen. X. p. 421. F. Ὁ δ' Εὐριπίδης φησὶ (fgm. 187. vs. 4.) „φαύλῃ διαίτῃ προσβαλὼν ἥσθη στόμα." ὡς τῆς ἀπὸ τῶν προσφορῶν τέρψεως περὶ τὸ στόμα μᾶλλον γινομένης. Αἰσχύλος τ' ἐν Φινεῖ

καὶ ψευδόδειπνα πολλὰ μαργώσης γνάθου
ἐρρυσίαζον στόματος ἐν πρώτῃ χαρᾷ.

Vs. 2. codd. ἐρρυσίας οἷον, quod correxit Lobeckius. — Sunt qui Phineum his verbis de harpyis queri credant.

Φ Ο Ρ Κ Ι Δ Ε Σ.

Hanc fabulam ad Persei historiam pertinuisse e fragmentis cognoscitur: itaque Welcker (Tril. p. 378.), quum ad eandem etiam Polydectes spectasse videatur, utramque fabulam in eadem tetralogia fuisse coniecit. Utcunque ea de re statuitur, certe Phorcidum argumentum in iis positum fuisse ex Eratosthene (fgm. I.) probabile est, quae tradidit Pherecyd. ap. schol. Apollon. Rhod. IV, 1515. *Περσέως ἐν Σερίφῳ μετὰ τῆς μητρὸς διάγοντος παρὰ Δίκτυϊ καὶ ἡβήσαντος ἤδη, Πολυδέκτης ὁ Δίκτυος ὁμομήτριος ἀδελφὸς, βασιλεὺς Σερίφου τυγχάνων, ἰδὼν τὴν Δανάην, ἠράσθη αὐτῆς, ἠπόρει δὲ συγκοιμηθῆναι* (cod. Paris. *συγγενέσθαι αὐτῇ*). *καὶ παρασκευάσας ἄριστον, ἐκάλει ἄλλους τε πολλοὺς καὶ αὐτὸν Περσέα. Περσέως δὲ πυθομένου, ἐπὶ τίνι ὁ ἔρανος εὐωχεῖται, τοῦ δὲ φήσαντος, ἐπὶ ἵππῳ, Περσεὺς εἶπεν, ἐπὶ τῇ τῆς Γοργόνος κεφαλῇ. Μετὰ δὲ τὸν ἔρανον τῆς ἑξῆς ἡμέρας, ὅτε οἱ ἄλλοι ἐρανισταὶ τὸν ἵππον ἀπεκόμιζον, καὶ Περσεύς. ὁ δὲ οὐκ ἐδέχετο, ἀπῄτει δὲ τὴν τῆς Γοργόνος κεφαλὴν κατὰ τὴν ὑπόσχεσιν· ἐὰν δὲ μὴ κομίσῃ, τὴν μητέρα αὐτοῦ λήψεσθαί ἔφη. Ὁ δὲ ἀνιαθεὶς ἀπέρχεται, ὀλοφυρόμενος τὴν συμφορὰν, εἰς τὸ ἔσχατον τῆς νήσου. Ἑρμῆς δὲ αὐτῷ ὀφθεὶς* (Paris. *ἐντυχὼν*), *καὶ πεῦσιν αὐτῷ προσαγαγὼν, μανθάνει τὴν αἰτίαν τοῦ θρήνου* (Paris. *λύπης.*) *Ὁ δὲ* (*ἡγεῖται* omitt. Paris.) *θαρρεῖν εἰπὼν* (*καὶ* omittit Paris) *πρῶτον μὲν ἡγεῖτο αὐτῷ πρὸς τὰς τοῦ Φόρκου Γραίας, Πεμφρηδὼ* (Paris. *Πεφριδὼ*) *καὶ Ἐντὼ καὶ Ἰαινὼ* (Apollodor. *Δεινὼ*) *Ἀθηνᾶς φρασάσης. καὶ αὐτῷ μὲν ὑφαιρεῖται* (Paris. *ἀφαιρεῖται*) *τὸν ὀφθαλμὸν καὶ τὸν ὀδόντα, ὀρεγουσῶν ἀλλήλαις* (Paris. *ὃν ἐκ διαδοχῆς ἀλλήλαις ὤρεγον.*) *Αἱ δὲ, αἰσθανόμεναι, βοῶσι καὶ ἱκετεύουσι τὸν ὀθφαλμὸν καὶ τὸν ὀδόντα ἀποδοῦναι. Ἑνὶ γὰρ αἱ τρεῖς ἐκ διαδοχῆς ἐκέχρηντο. Ὁ δὲ Περσεὺς αὐτὸν ἔχειν ἔφη καὶ ἀποδώσειν, ἐὰν αὐτῷ ὑποδείξωσι τὰς νύμφας αἳ ἔχουσι τῆς Ἀϊδος κυνῆν καὶ τὰ πέδιλα τὰ ὑπόπτερα καὶ τὴν κίβισιν. Αἱ δὲ αὐτῷ φράζουσι. καὶ ὁ Περσεὺς ἀποδίδωσι. Καὶ ἀπελθὼν πρὸς τὰς νύμφας σὺν Ἑρμῇ, αἰτήσας τε καὶ λαβὼν ὑποδεσμεῖται τὰ ὑπόπτερα πέδιλα, καὶ τὴν κίβισιν περιβάλλεται κατὰ τοὺς ὤμους* (sic Paris., *ὑποβάλλει κατὰ τῶν ὤμων* reliqui) *καὶ τὴν Ἄϊδος κυνῆν κεφαλῇ περιτίθησιν. Εἶτα ἔρχεται πετόμενος κατὰ* (cod. Paris. *εἰς*) *τὸν ὠκεανὸν καὶ τὰς Γοργόνας, συνεπομένων αὐτῷ Ἑρμοῦ τε καὶ Ἀθηνᾶς. ταύτας δὲ κοιμωμένας εὑρίσκει. Ὑποτίθενται δὲ αὐτῷ οὗτοι οἱ θεοὶ, ὅπως χρὴ τὴν κεφαλὴν* (Paris. addit *τῆς Γοργόνος*) *ἀποτεμεῖν ἀπεστραμμένον* (Paris. addit *δηλονότι καὶ* [sic Schaefer correxit pro vulg. *δὴ*] *κάτοπρον ἔχοντα*) *καὶ δεικνύουσιν ἐν τῷ κατόπτρῳ τὴν Μέδουσαν, ἣ μόνη ἦν θνητὴ τῶν Γοργόνων. Ὁ δὲ, πλησίον γενόμενος, ἀποτέμνει τῇ ἅρπῃ τὴν κεφαλὴν καὶ ἐνθεὶς εἰς τὴν κίβισιν φεύγει. αἱ δὲ αἰσθόμεναι* (Paris. *βοῶσι* h. e. *βοῶσαι*) *διώκουσιν. οὐχ ὁρῶσι μέντοι αὐτὸν διὰ τὴν Ἄϊδος κυνῆν.* cf. Apollod. II, 4, 1. sq. Scenam dramatis et Phorcidas sic descripsit Aeschylus ipse (Prom. 795. sq.)

Πρὸς Γοργόνεια πεδία Κισθήνης. ἵνα
αἱ Φορκίδες ναίουσι δηναιαὶ κόραι
τρεῖς κυκνόμορφοι, κοινὸν ὄμμ' ἐκτημέναι,
μονόδοντες, ἃς οὔθ' ἥλιος προσδέρκεται
ἀκτῖσιν, οὔθ' ἡ νύκτερος μήνη ποτέ.

I. (249.)

Eratosth. Catast. 22. *Περσεύς. Περὶ τούτου ἱστορεῖται ὅτι ἐν τοῖς ἄστροις ἐτέθη διὰ τὴν δόξαν· τῇ γὰρ Δανάῃ ὡς χρυσὸς μιγεὶς ὁ Ζεὺς ἐγέννησεν αὐτόν· ὑπὸ δὲ τοῦ Πολυδέκτου ἐπέμφθη εἰς Γοργόνας, τήν τε κυνῆν ἔλαβε παρ' Ἑρμοῦ καὶ τὰ πέδιλα, ἐν οἷς διὰ τοῦ ἀέρος ἐποιεῖτο τὴν πορείαν· δοκεῖ δὲ καὶ ἅρπην παρ' Ἡφαίστου λαβεῖν ἐξ ἀδάμαντος, ὡς Αἰσχύλος ἐν Φορκίσι φησίν, ὁ τῶν τραγῳδιῶν ποιητής. Φορκίδας [Γραίας] εἶχον προφύλακας αἱ Γοργόνες. αὗται δὲ ἕνα εἶχον ὀφθαλμὸν καὶ τοῦτον ἀλλήλαις ἐδίδοσαν κατὰ φυλακήν.* cf. Hygin. Poet. Astron. II, 12. *Sed ut ait Aeschylus tragoediarum scriptor in Phorcisi, Graeae fuerunt Gorgonum custodes — quae utraeque uno oculo usae existimantur, et ita suo quaeque tempore accepto oculo vigilias egisse.*

II. (250.)

Athen. IX. p. 402. B. *Οὐκ ἀγνοῶ δὲ ὅτι οἱ περὶ τὴν Σικελίαν κατοικοῦντες ἀσχέδωρον καλοῦσι τὸν σύαγρον. Αἰσχύλος γοῦν ἐν Φορκίσι παρεικάζων τὸν Περσέα τῷ ἀγρίῳ τούτῳ συΐ φησιν*

— ἔδυ δ' ἐς ἄντρον ἀσχέδωρος ὥς.

— — *ὅτι δὲ Αἰσχύλος διατρίψας ἐν Σικελίᾳ πολλαῖς κέχρηται φωναῖς Σικελικαῖς οὐδὲν θαυμαστόν.* Aeschyli versum similiaque eorum, quae Athenaeus scripsit, attulit etiam Eustath. p. 1872, 6. cf. Gramm. in Bekk. An. I. p. 157, 25. Bachm. An. I. p. 157, 25. *Ἀσχέδωρος· παρ' Αἰσχύλῳ ὁ ἐκ τῆς ἰδίας ἀλκῆς ἄσχετα δωρούμενος, οἷον βίαιος. Ἰταλιῶται τὸν σύαγρον ἀσχέδωρον καλοῦσιν.* De Siculis Aeschyli locutionibus vide quae disputavit Th. Bergkius in Zimmermanni Diar. Antiqu. a. 1835. p. 955. sqq.)

ΦΡΥΓΕΣ = ΕΚΤΟΡΟΣ ΛΥΤΡΑ.

Titulum *Φρύγες ἢ Ἕκτορος λύτρα* praebent veteris fab. Aesch. auctor, Pollux et scholiastes Aristophanis (vid. infra). [16]) ex quo dramatis argumentum petitum fuisse ex Hom. Iliadis libris XXIII. XXIV. coniici potest. Quae coniectura et fragmentis ipsis et veterum scriptorum testimoniis confirmatur. Haec enim de ratione, qua chorus munere suo functus sit, tradidit poeta comicus apud Athen. I. p. 21. E. *Χαμαιλέων γοῦν πρῶτον αὐτόν φησι σχηματίσαι τοὺς χοροὺς ὀρχηστοδιδασκάλοις οὐ χρησάμενον, ἀλλὰ καὶ αὐτὸν τοῖς χοροῖς τὰ σχήματα ποιοῦντα τὰ ὀρχήσεων, καὶ ὅλως πᾶσαν τὴν τῆς τραγῳδίας οἰκονο-*

---

16) De duplis fabularum titulis quid statuendum videatur expositum est ad Sophoclis Niptra. *Phrygum* nomine *Troes* a poeta significatos esse e fgm. 263. apparet.

μίαν εἰς ἑαυτὸν περιστᾶν. ὑπεκρίνετο γοῦν μετὰ τοῦ εἰκότος τὰ δράματα Ἀριστοφάνης γοῦν — παρὰ δὲ τοῖς κωμικοῖς ἡ περὶ τῶν τραγικῶν ἀπόκειται πίστις —

Τοῖσι χοροῖς αὐτὸς τὰ σχήματ' ἐποίουν.

καὶ πάλιν

Τοὺς Φρύγας οἶδα θεωρῶν,
ὅτε τῷ Πριάμῳ συλλυσόμενοι τὸν παῖδ' ἦλθον τεθνεῶτα,
πολλὰ τοιαυτὶ καὶ τοιαυτὶ καὶ δεῦρο σχηματίσαντες.

De Achille, quomodo se in hac fabula gesserit, dixerunt Aristoph. Ran. 911. sq. et scholl. Script. vit. Aesch. p. 119, 33. Westerm. Eustath. p. 1940, 64. (quorum verba ad fgm. 152. adscripsimus.) Atqui neque haec nec fragmenta ipsa sufficiunt ad oeconomiam fabulae Aeschyleae cognoscendam, etsi quodammodo virorum doctorum sententiam (vid. ad Myrmidones) firmant, qui Myrmidones et Phryges in eadem tetralogia fuisse statuunt.

I. (251.)

Pollux. VIII, 91. *Ἃ δὲ ποδεῖα Κριτίας καλεῖ, εἴτε πίλους αὐτὰ οἰητέον εἴτε περιειλήματα ποδῶν, ταῦτα πέλλυτρα καλεῖ ἐν Φρυξὶν* (sic e cod. dedit Bekker pro vulg. *Φοινίσσαις*) *Αἰσχύλος*

Πέλλυτρ' ἔχουσιν εὐθέτοις ἐν ἀρβύλαις.

τὰ δὲ πέλλυτρα καὶ εἶδος ὑποδήματος, ὥσπερ αὖ τὰ πόδεια ταὐτόν. ἢν ταῖς ἀναξυρίσιν, ἃς σκελέας ἔνιοι ὀνομάζουσιν. cf. Pollux. II, 196. *Καὶ ποδεῖα τοὺς περὶ τοῖς ποσὶ πίλους Κριτίας, ἅπερ Αἰσχύλος πέλλυτρα καλεῖ.* Soph. fgm. 972.

II. (252.)

Pollux. VII, 131. *Τῷ μέντοι φορτηγῷ ἐπὶ τῶν τὰ φορτία ἀγόντων ἐμπόρων κέχρηται Αἰσχύλος ἐν Φρυξὶν ἢ Λύτροις*

ἀλλὰ ναυβάτην
φορτηγὸν, ὅστις ῥῶπον ἐξάγει χθονός.

G. Hermannus (de Aesch. Myrmid. etc. p. 20. Opusc. V. p. 158.) Aeschylum his verbis imitatum esse dicit Hom. Il. XXIV, 381.

III. (253.)

Athen. II. p. 51. C. *Μόρα δὲ τὰ συκάμινα καὶ παρ' Αἰσχύλῳ ἐν Φρυξὶν ἐπὶ τοῦ Ἕκτορος*

Ἀνὴρ δ' ἐκεῖνος ἦν πεπαίτερος μόρων.

Sequitur fgm. 113. — Huc respexerunt Pollux VI, 46. Phot. p. 275, 19. Eustath. p. 211, 17. allatis aliis ex Athen. p. 68. D. 49. F. Hermannus l. c. hunc quoque versum ex Homeri Il. XXIV, 411 — 23 haustum esse dixit.

IV. (254.)

Stob. CXXV, 7. *Αἰσχύλου Ἕκτορος* (sic).

Καὶ τοὺς θανόντας εἰ θέλεις εὐεργετεῖν.
τὸ γοῦν κακουργεῖν ἀμφιδεξίως ἔχει,
καὶ μήτε χαίρειν, μήτε λυπεῖσθαι βροτούς.
ἡμῶν γε μέντοι νέμεσίς ἐσθ' ὑπερτέρα,
καὶ τοῦ θανόντος ἡ δίκη πράσσει κότον.

Sic dedit Gaisfordus. Optimi libri Paris. A. B. Vindob. omittunt εἰ θέλεις et ὃ γοῦν praebent. Salmasius correxit τῷ γοῦν, Grotius ἤγουν — et vs. 3. οἷς — — λυπεῖσθαι πάρα. Locum egregie sic restituit Hermannus l. c.

καὶ τοὺς θανόντας εἰ θέλεις εὐεργετεῖν
εἴτ' οὖν κακουργεῖν, ἀμφιδεξίως ἔχει
τῷ μήτε χαίρειν μήτε λυπεῖσθαι φθιτούς.
ἡμῶν γε μέντοι νέμεσίς ἐσθ' ὑπερτέρα,
καὶ τοῦ θανόντος ἡ δίκη πράσσει κότον.

Priami videri verba fuisse monens.

V. (255.)

Schol. ad Eur. Androm. 1. ed. Cobet. την ἐν Ἀσίᾳ λέγει τὴν Ὑποπλάκιον Θήβην, ἧς Ἠετίων ἐβασίλευσεν. Δικαίαρχός φησιν ἔνθαδε ἀπόσπασμά τι μετὰ τοῦ Κάδμου οἰκῆσαι· ἔνιοι δὲ καὶ τὴν Χρύσην καὶ τὴν Λυρνησσὸν ἐν τῷ τῆς Θήβης πεδίῳ τάσσουσιν, ὡς ὁ Αἰσχύλος Λυρνησσίδα προσαγορεύσας τὴν Ἀνδρομάχην ἐν τοῖς Φρυξίν, ἔνθα καὶ ξένως ἱστορεῖ Ἀνδραίμονος αὐτὴν λέγων·

*Ἀνδραίμονος γένεθλον * Λυρνησσίου,*
ὅθενπερ Ἕκτωρ ἄλοχον ἤγαγεν φίλην.

In aliis codd. male παρ' Ἕκτορος legitur. G. Hermannus l. c. dedit: Ἀν. γ. ὦ Λυρ. ὅδ. π. Ἕκτωρ σ' ἄλ. ἤγ. φ. referri ὅθεν ad Λυρνησσὸν dicens, quod lateat in Λυρνησσίου. Probabiliter, siquidem προσαγορεύειν apud scholiastam significat *alloqui*; sed perquam mirum fuisset, si quis ita Andromachen allocutus esset. Mihi verba ex nuntii cuiusdam sermone fluxisse videntur, de iis verba facientis, qui Hectoris causa ad Achillem essent venturi. Cuius oratio fere haec mihi fuisse videtur: Ἀλλ' Ἀνδρομάχη σὺν τῷδ' (sc. τῷ Πριάμῳ) ὁμοῦ προσέρχεται, | Ἀνδραίμονος γένεθλον ὃν Λυρνησσίου κτλ.

VI. (256.)

Hesych. Ἀγαστά· ἃ ἄν τις ἀγάσαιτο, οἷον ἀρεστά. Αἰσχύλος Φρυξί (cod. φρα´ with ξ above) Albertius dubitat, an, quod literarum ordo requirit, Hesychius scripserit ἀγατά.

VII. (257.)

Hesych. Ἀδίοπον, ἄναρχον καὶ ἀφύλακτον. Αἰσχύλος Φρυξί. δίοποι γὰρ οἱ τῆς νεὼς φύλακες. Eadem habet Grammaticus in Bekk. An.

p. 344, 8. Cf. fgm. 223. Etym. M. p. 17, 44. 18, 28. Phavorin. Eustath. p. 203, 11. ἐκ δὲ τούτου οὐ μόνον δίοποι οἱ ἄρχοντες, ὡς καὶ Αἰσχύλος δηλοῖ, ἀλλὰ καὶ ἀδίοποι οἱ μὴ ἀρχόμενοι. ἀδίοπος γάρ φασιν ὁ ἄναρχος καὶ ἀφύλακτος, ἐπεὶ δίοποι οἱ βασιλεῖς καὶ οἱ διέποντες.

VIII. (258.)

Schol. Ven. ad Il. XXII, 23. Ὁ δὲ Αἰσχύλος ἐπ' ἀληθείας ἀνθιστάμενον χρυσὸν πεποίηκε πρὸς τὸ Ἕκτορος σῶμα ἐν Φρυξίν. Schol. Townl. et Vict. ὁ μέντοι Αἰσχύλος Ἕκτορος Λύτροις ἀληθὲς αὐτὸ ἐξεδέξατο. Eodem pertinere fgm. IX monuit Hermannus.

IX. (259.)

Hesych. Ἄροτον· τὸν ὅλκον τοῦ Ἕκτορος, ἢ τὸ ἀντίσταθμον. Αἰσχύλος Φρυξίν. Cf. fgm. VIII. Schowius sive ex codice sive per errorem dedit ἄροτον.

X. (260.)

Hesych. Διαπεφρούρηται βίος· Αἰσχύλος Φρυξίν. οἷον ἡ διὰ τοῦ βίου φρουρὰ (cod. φθορά.) συντετέλεσται, ἢ διελήλυθεν ὁ χρόνος. Hermanno collat. Hom. Il. ω', 486. sq. potius significari videtur vita in tot malis, pereuntibus plerisque filiis, conservata eumque ad terminum producta, qui finem faciat custodiendi. Friebelius (Poet. satyrogr. gr. p. 138.) corrigi iussit: διαπεφόρβηται βίος. — — ἡδεῖα τοῦ βίου φορβὴ συντ. κτλ. ingeniose quidem, sed sine causa.

XI. (261.)

Hesych. Ἐπιστροφαί. διατριβαί, δίαιται. Αἰσχύλος Φρυξίν. cf. fgm. 239.

XII. (262.)

Hesych. Τιτῆναι, βασιλίδες (cod. βασιλδ'). [Αἰσχύλος Φρυξίν addidit Sopingius] ἢ Ἕκτορος Λύτροις. Similiter Phavorinus: τιτήναις, βασιλίσιν· ἢ Ἕκτορος λύτροις. Eadem vox mendose alio loco apud Hesychium scripta est: τιήνη, ἡ βασίλισσα. Apte cum his compararunt: Hesych. Τίταξ, ἔντιμος ἢ δυνάστης· οἱ δὲ, βασιλεύς.

XIII. (263.)

Schol. Hom. Il, β', 462. Οἱ νεώτεροι τὴν Τροίαν καὶ την Φρυγίαν τὴν αὐτὴν λέγουσιν, ὁ δὲ Ὅμηρος οὐχ οὕτως. Αἰσχύλος δὲ συνέχεεν. Eadem Eustath. p. 364, 42.

Praeterea huius fabulae fragmentum excidit apud Stob. IV, 21, ubi lemma servatum est Αἰσχύλος ἐν Φρυξὶν, post lacunam vero hexameter heroicus sequitur. Hermannus l. c. p. 22. Opusc. V. p. 160, quem Ahrens sequitur, perquam audacter huc rettulit duos Chaere-

monis (fgm. 22. Poet. trag. fragm. Vol. III. p. 142.) ap. Stob. IV, 15. duosque Euripidis (fgm. 844.) ap. Stob. IV, 19. versus. Cf. Welcker. Trag. Gr. p. 1093. not. 21.

Φ Ρ Υ Γ Ι Α Ι.

Praeter titulum (Editt. Ald. et Robert. habent Φρύγιοι) in vetere catologo servatum nihil ex hac fabula aetatem tulit: itaque, quale eius fuerit argumentum, plane ignoramus, ac ne ex titulo quidem coniecturam facere de eo possumus aliquantulum probabilem. Nam vereor, ut cuiquam probetur Welckeri (Trag. Gr. p. 29.) sententia Phrygias dicentis non differre ab Iliupersi, quam sibi excogitavit (cf. fgm. 303. 376.) et in eadem tetralogia fuisse cum Philocteta (in Lemno) et Philocteta in Troia, quem pariter ipse animo sibi finxit. Nec plus tribuerim coniecturae, quae mihi olim in mentem venit, in hac fabula idem argumentum tractatum fuisse atque in Euripidis Troadibus. (cf. fgm. 263.)

Ψ Υ Χ Α Γ Ω Γ Ο Ι.

Huius fabulae argumentum obscurum est. Haud improbabiliter vero Valckenarius (Diatr. p. 286. B.) ex fgm. I coniecit, argumentum ex illa carminis Homerici parte, ad quam scholiastes versus Aeschyli servavit, h. e. ex Necyia (Od. lib. XI.) petitum fuisse; cui coniecturae ex parte favent, quae de voce Ψυχαγωγὸς disputavit Phrynichus Bekkeri I. p. 73, 10. *Ψυχαγωγός· — οἱ ἀρχαῖοι τοὺς τὰς ψυχὰς τῶν τεθνηκότων γοητείαις τισὶν ἄγοντας· τῆς αὐτῆς ἐννοίας καὶ τοῦ Αἰσχύλου δρᾶμα Ψυχαγωγός.* Welcker (Tril. p. 458.) olim *Palamedem*, *Psychagogos* et *Ὀδυσσέα ἀκανθοπλῆγα* (cuius memoria nisi in Sophoclis fabula eodem nomine inscripta aetatem non tulerit), tetralogiae vinculo nexas fuisse statuit, nuper autem (Trag. Gr. p. 29.) *Palamedem* omisit.

I. (264.)

Schol. Hom. Od. λ', 134. *Αἰσχύλος ἐν Ψυχαγωγοῖς*

Ἐρρωδιὸς γὰρ ὑψόθεν ποτώμενος,
ὄνθῳ σε πλήξει, νηδύος χειλώμασιν.
ἐκ τοῦδ' ἄκανθα ποντίου βοσκήματος
σήψει παλαιὸν δέρμα καὶ τριχορρυές.

Sic haec restituit Valckenarius l. c., quum ante legeretur

ἐρωδιὸς — ὃν ὡς ἔπληξεν ἠδὲ υἱὸς χειλώμασιν. Idem primus verba esse Tiresiae videri monuit Ulixi rationem, qua is mortem obiturus sit, vaticinantis.

II. (265.)

Aristoph. Ran. 1266.

Ἑρμᾶν μὲν πρόγονον τίομεν γένος οἱ περὶ λίμναν.

ubi scholiastes: *ἐκ τῶν Αἰσχύλου Ψυχαγωγῶν.*

III. (266.)

Pollux. X, 10. *Αὐτὸ μὲν γὰρ τοὔνομα τῆς σκευοθήκης εὕροις ἂν ἐν τοῖς Αἰσχύλου Ψυχαγωγοῖς*

καὶ σκευοθηκῶν ναυτικῶν τ᾽ ἐρειπίων.

IV. (267.)

Schol. Apoll. Rhod. III, 846. *Ὅτι τὴν Δαῖραν Περσεφόνην καλοῦσι Τιμοσθένης ἐν τῷ Ἐξηγητικῷ συγκατατίθεται καὶ Αἰσχύλος ἐν Ψυχαγωγοῖς ἐμφαίνει, τὴν Περσεφόνην ἐκδεχόμενος Δαῖραν.* Phavorin. *Δαῖρα ἡ αὐτὴ τῇ Δαείρᾳ. Δαῖραν μουνογένειαν λέγει Ἀπολλώνιος τὴν Περσεφόνην — — ὅτι δὲ τὴν Δαῖραν Περσεφόνην καλοῦσι, Δημοσθένης καὶ Αἰσχύλος μαρτυροῦσι.* Id. *Δάειρα, ἡ Περσεφόνη παρ᾽ Ἀθαιναίοις, παρὰ τὴν δᾷδα ἐπειδὴ μετὰ δᾴδων ἐπιτελεῖται αὐτῇ τὰ μυστήρια, ἢ ὅτι δᾷδα φορεῖ.* Plura praebet Eustath. p. 648, 40.

V. (268.)

Hesych. *Δρώπτειν· διακόπτειν ἢ διασκοπεῖν. Αἰσχύλος Ψυχαγωγοῖς.*

VI. (269.)

Phot. p. 534, 1. Suid. s. v. *Σταθερόν· ὀξύ, ἰσχυρὸν ἢ θερμόν. — — — τινὲς καὶ ἐπὶ τοῦ στασίμου, ὡς Αἰσχύλος ἐν Ψυχαγωγοῖς*

σταθεροῦ χεύματος

(Suid. *χρήματος.*) *καὶ Ἀριστοφάνης ἐν Προάγωνι· „Σταθερὰ δὲ κάλυξ νεαρᾶς ἥβης.“*

Ψ Υ Χ Ο Σ Τ Α Σ Ι Α.

Huius dramatis argumentum ex Memnonis, Aethiopum regis, historia ductum fuisse testes sunt Plut. de aud. poet. 2. p. 16. F. sq. *Τοιαῦτα γάρ ἐστιν, ἃ πλάττουσιν ἑκόντες οἱ ποιηταί. Πλείονα δὲ, ἃ μὴ πλάττοντες, ἀλλ᾽ οἰόμενοι καὶ δοξάζοντες αὐτοί, προσαναχρώννυνται τὸ ψεῦδος ἡμῖν. Οἷον, ἐπὶ τοῦ Διὸς εἰρηκότος Ὁμήρου* (Il. φ'. 209.)

Ἐν δ' ἐτίθει δύο κῆρε τανηλεγέος θανάτοιο,
τὴν μὲν Ἀχιλλῆος, τὴν δ' Ἕκτορος ἱπποδάμοιο.
Ἕλκε δὲ μέσσα λαβών· ῥέπε δ' Ἕκτορος αἴσιμον ἦμαρ,
ᾤχετο δ' ἐς ἀΐδαο. λίπεν δέ ἑ Φοῖβος Ἀπόλλων.

Τραγῳδίαν ὁ Αἰσχύλος ὅλην τῷ μύθῳ περιέθηκεν, ἐπιγράψας Ψυχοστασίαν, καὶ παραστήσας ταῖς πλάστιγξι τοῦ Διὸς ἔνθεν μὲν τὴν Θέτιν, ἔνθεν δὲ τὴν Ἠώ, δεομένας ὑπὲρ τῶν υἱέων μαχομένων. Τοῦτο δὲ παντὶ δῆλον, ὅτι μυθοποίημα καὶ πλάσμα πρὸς ἡδονὴν ἢ ἔκπληξιν ἀκροατοῦ γέγονε. Schol. Ven. ad Il. VIII, 70. ὅτι τὰς θανατηφόρους μοίρας λέγει. ὁ δὲ Αἰσχύλος νομίσας λέγεσθαι τὰς ψυχὰς, ἐποίησε τὴν Ψυχοστασίαν, ἐν ᾗ ἐστιν ὁ Ζεὺς ἱστὰς ἐν τῷ ζυγῷ τὴν τοῦ Μέμνονος καὶ Ἀχιλλέως ψυχήν. Ibid. Porphyrius: πρὸς Αἰσχύλον Ψυχοστασίαν γράψαντα. Eustath. ad h. l. p. 699, 30. φασὶ δὲ οἱ παλαιοὶ ὅτι Αἰσχύλος ἐνταῦθα κῆρας οὐ τὰς εἰς θάνατον μοίρας, ἀλλὰ ψυχὰς νοήσας, ἐποίησεν αὐτὸς Ψυχοστασίαν, ἐν ᾗ ὁ Ζεὺς ἵστησιν ἐν ζυγῷ τὴν τοῦ Μέμνονος καὶ τοῦ Ἀχιλλέως ψυχήν. Schol. ad Il. XXII, 210. κῆρας τὰς μοίρας λέγει, οὐ τὰς ψυχὰς, ὡς ἐξεδέξατο φαύλως Αἰσχύλος. Eustath. p. 1266, 37. φασὶ δὲ οἱ παλαιοὶ ἐκ τούτου τοῦ χωρίου πεπλάσθαι, ὡς καὶ αὐτὸ προεδηλώθη, τὴν Ψυχοστασίαν τῷ Αἰσχύλῳ, κῆρε νοήσαντι τὰς ψυχὰς, ὡς καθόλου τοῦ Διὸς ψυχὰς ἱστῶντος. His supplendis inservit Pollux IV, 130. Ἀπὸ δὲ τοῦ θεολογείου ὄντος ὑπὲρ τὴν σκηνὴν ἐν ὕψει ἐπιφαίνονται θεοί, ὡς ὁ Ζεὺς καὶ οἱ περὶ αὐτὸν ἐν Ψυχοστασίᾳ· ἡ δὲ γέρανος μηχάνημά τι ἐστιν ἐκ μετεώρου καταφερόμενον ἐφ' ἁρπαγῇ σώματος, ᾧ κέχρηται ἡ Ἠὼς ἁρπάζουσα τὸ σῶμα τοῦ Μέμνονος. His summam argumenti adumbrari facile intelligitur: sed qua id ratione Aeschylus conformaverit ac disposuerit, fragmentis destituti dicere non possumus. Non mirum igitur nobis videtur, quod, quum ad Memnonis historiam etiam tragoediam huius regis nomine inscriptam (de qua loco suo disseruimus) pertinuisse verisimillimum sit, alii viri docti fuerunt, qui Memnonem et Psychostasiam non differre censerent, alii contra, quorum principes G. Hermannus (de Aeschyli Psychostasia. Lips. 1838. Opusc. VII. p. 343.) et Welcker (Trag. Gr. p. 29. 34.) sunt, utramque fabulam unius tetralogiae partem fuisse statuerent. De cuius argumento supra (ad Memnonem) diximus. — Picturas quasdam ad Psychostasiam spectantes descripsit Pausan. V, 19, 1 et V, 22, 2.

I. (270.)

Hesych. Phavor. Ἀνηκίδωτοι (cod. ἀνηκίδοτοι). ἄνευ ἀκίδος. Αἰσχύλος Ψυχοστασίᾳ. Grammaticus in Bekk. An. p. 402, 25. ἀνηκίδωτοι, ἄνευ ἀκίδος. Simplex ἀκιδωτός memorant idem grammaticus p. 371, 24. et Pollux X, 133. Hinc corrigendum esse ἀνακίδωτοι, quam formam etiam cod. Havniensis Arcadii p. 82, 24 praebet, recte monuit A. Nauckius (in Schneidewini Philol. IV. p. 535.)

II. (271.)

Hesych. Αὐριβάτας. Αἰσχύλος τὸ αὔριον ἐπὶ τοῦ ταχέως τίθησι. καὶ ὁ αὐτὸς Ψυχοστασίᾳ οὕτως φησὶ τὸ ὄνομα· ταχυβήμων. Sic bene

correxit Salmasius vulgatam φησὶ τὸ ὄνομα ταχυβήλων. Nec infeliciter Pauwium τὸ αὔριον mutari in τὸ αὖρι iussisse ex grammatici verbis in Bekk. An. Gr. p. 464, 9 cognoscitur: αὐρίβατον· τὸ αὖρι τιθέασι ἐπὶ τοῦ ταχέως καὶ τάχα οὐκ ἀπὸ τῆς αὔρας, ἀλλὰ κατά τινα βαρβαρικὴν λέξιν. τάχα δὲ καὶ ἀπὸ τοῦ αὔριον. Cf. Hermann. l. c. p. 354.

Ad hanc fabulam praeterea quidam pertinere dicunt fgm. 276. 312. equidem rettulerim fgm. 304.

Ω Ρ Ε Ι Θ Υ Ι Α.

Strabo IX, 5, 8. p. 433. *οὕτω δὲ συμβαίνει τοὺς ὅρους καὶ τὰς συντάξεις τῶν τε ἐθνῶν καὶ τῶν τύπων ἀλάττεσθαι ἀεί, καθάπερ εἴπομεν. οὕτω καὶ Σοφοκλῆς τὴν Τραχινίαν Φθιῶτιν εἴρηκεν, Ἀρτεμίδωρος δὲ τὴν Ἅλον.* — Elmsleius (ad Eurip. Heracl. 194.) hunc locum ad Phthiotides rettulit et *τὴν Τραχῖνα* correxit, sine causa.

CIII. (782.)

Strabo XV. p. 687. *Παρὰ Σοφοκλεῖ δὲ τίς ἐστι τὴν Νῦσαν καθυμνῶν ὡς τὸ Διονύσῳ καθιερωμένον ὄρος*

Ὅθεν κατεῖδον τὴν βεβακχιωμένην
βροτοῖσι κλεινὴν Νῦσαν, ἣν ὁ βούκερως
Ἴακχος αὑτῷ μαῖαν ἡδίστην νέμει,
ὅπου τις ὄρνις οὐχὶ κλαγγάνει.

καὶ τὰ ἑξῆς. Brunckius versum 4 omisit. — Welcker p. 307. hunc locum probabiliter ad Triptolemum refert. cf. fgm. 750.

CIV. (783.)

Herodian. *περὶ μον. λέξ.* p. 34, 3. *Παρὰ Σοφοκλεῖ*

Ὁ σκέπαρνος οὐδὲ πρίονος
πληγαί —

[*οὐκ ἀντικεῖται* inser. Lehrsius.] *ὅτι γὰρ καὶ ὁ τραγικὸς λέγει σκέπαρνος ἐπ' εὐθείας ἀρσενικῆς ἐν ἑτέροις ἐδήλωσα.* Blochius pro ὁ *σκέπ.* dedit *οὐ*, procul dubio recte.

CV. (784.)

Herodian. *περὶ μον. λέξ.* p. 42, 23. *Τὰ εἰς τη λήγοντα δισύλλαβα μονογενῆ καθαρά, εἰ ἔχοι πρὸ τέλους τὸ α, συνεσταλμένον αὐτὸ ἔχει, πλάτη, μάτη, ἔνθεν καὶ γενικὴ παρὰ Σοφοκλεῖ*

Οὔ τί τοι μέτρον μάτας.

CVI. (785.)

Herodian. *περὶ σολοικ.* in Boisson. Anecd. Gr. III. p. 244. post allatos Antigonae vs. 699. sq. pergit: *ἐπὶ δυϊκοῦ*

Αἴαντε δ' ὁρμήσαντες ἐκ ξυνωρίδος

ἔδει γὰρ ἐπενεχθῆναι δυϊκῷ δυϊκόν. — Sophocli versum recte, ut equidem opinor, assignant Ad. Schoell. Tetral. I. p. 342. et Schneidewin. Coniect. crit. p. 102.

CVII. CVIII. (786. a. b.)

Steph. Byz. v. *Αἶα, πόλις Κόλχων, κτίσμα Αἰήτου, θαλάσσης ἀπέχουσα στάδια τριακόσια, ἣν περιρρέουσι δύο ποταμοί, Ἵππος καὶ Κυάνεος, ποιοῦντες αὐτὴν χερρόνησον. ἔοικε δὲ τοὐναντίον ἐξ αὐτῆς ὁ Αἰήτης εἶναι, ὡς Ἀσία Ἀσιάτης, οὕτως Αἶα Αἰάτης καὶ Αἰήτης. ἔστι δὲ καὶ Θετταλίας ἄλλη, ἧς μέμνηται Σοφοκλῆς. τῆς μὲν προτέρας λέγων*

Εἰς Αἶαν πλέων.

τῆς δὲ δευτέρας οὕτως·

Ἔστιν τις Αἶα Θεσσαλῶν παγκληρία.

CIV. (787.)

Steph. Byz. v. *Αἰανῖτις, Ναβαταίων χώρα. Οὐράνιος Ἀραβικῶν δευτέρῳ. τὸ ἐθνικὸν Αἰανῖται. προκατελήφθη γὰρ ἐν πρωτοτύπῳ διὰ διφθόγγου. Σοφοκλῆς δὲ Αἰαντία γράφει δίχα τοῦ ν.* Sic libri. Gronovius correxit *Αἰανῖτιν γρ. δ. τ. ι.*, probabilius Westermannus *Αἰάντις γρ. δ. τ. ι.*

CX. (788.)

Steph. Byz. v. *Ἄλος, πόλις Ἀχαΐας* — — *τὸ ἐθνικὸν Ἀλεύς, Σοφοκλῆς δὲ Ἀλουσίους, τινὲς δὲ τῶν γλωσσογράφων Ἀλίους.*

CXI. (789.)

Steph. Byz. v. *Ἀνακτόριον*, Ἀκαρνανίας πόλις — — τὸ ἐθνικὸν Ἀνακτόριος, καὶ θηλυκὸν Ἀνακτορία, ἡ γῆ. καὶ Ἀνακτοριεύς. Σοφοκλῆς δέ φησι διὰ τῆς ει

Ἀνακτόρειον τῆσδ' ἐπώνυμον χθονός.

Vulgo legebatur: διὰ τῆς ι, „Ἀνακτόριον κτλ. **quod correxit Brunckius. — Eadem verba in cod. Voss. Etym. (apud Gaisf. in not. ad Etym. M. p. 267. D.) sic leguntur:** Ἀνακτόρειον, Ἀκαρνανίας πόλις. οὐδέτερον. Θουκηδίδης δὲ ἀρσενικὸν, τὸ ἐθνικὸν Ἀνακτορειεὺς καὶ Ἀνακτορεῖα γῆ. Σοφοκλῆς δὲ διὰ τοῦ ι. „Ἀνακτόριον κτλ.

CXII. (790.)

Steph. Byz. v. *Ἀρτάκη*, πόλις Φρυγίας, ἄποικος Μιλησίων. — — τὸ ἐθνικὸν Ἀρτακηνός. Σοφοκλῆς δὲ ἀπὸ τοῦ *Ἀρτακεὺς* εἶπε

Τί μέλλετ' Ἀρτακῆς τε καὶ Περκώσιοι.

CXIII. (791.)

Steph. Byz. v. *Μαγνησία*. — ὁ πολίτης Μάγνης, τὸ θηλυκὸν Μάγνησσα (cod. Rhedig. Μάγνησα) παρὰ Καλλιμάχῳ, καὶ Μάγνησις (Μαγνησὶς vel Μαγνησσὶς corrigi iubet Meinek. Anal. Alex. p. 288.) παρὰ Παρθενίῳ καὶ *Μαγνῆτις* παρὰ Σοφοκλεῖ.

CXIV. (792.) *

Steph. Byz. v. *Τεγέα*, πόλις Ἀρκαδίας. — — ἔστι καὶ Τεγέα ἐν Κρήτῃ ὑπὸ Ταλθυβίου κτισθεῖσα. ὁ πολίτης Τεγεάτης ὡς Ἐλεάτης. καὶ θηλυκὸν Τεγεᾶτις. ἦν δὲ καὶ μελοποιὸς Ἀνύτη Τεγεᾶτις. λέγεται δὲ καὶ Τεγεάς ὡς Ἰλιάς. ὀξύνεται. ὡς Σοφοκλῆς. **Videndum, ne forte Apolloni Rhodii interpres, ad quem Stephanus etiam aliis locis (v. c.** Ἄβαρνος Ἀβρότονον. Κάναστρον.) **respexit, non poeta tragicus dictus sit.**

CXV. (793.)

Achill. Tat. Isag. in Arat. Phaenom. 1. (in Petavii Uranolog.) init. Σοφ.

Μισῶ μὲν ὅστις τἀφανῆ περισκοπεῖ.

CXVI. (794.)

Philo Iud. T. II. p. 448. ed. Mangey. τὸν ἀψευδῶς ἐλεύθερον ἀναζητῶμεν, ᾧ μόνῳ τὸ αὐτοκρατὲς πρόσεστι. — ἀναφθέγξεται γὰρ ἐκεῖνο τὸ Σοφόκλειον, οὐδὲν τῶν Πυθοχρήστων διαφέρον. „*Θεὸς ἐμοὶ* (ἐμὸς cod. Med.) *ἄρχων, θνητῶν δὲ* (θνητὸς. Med.) *οὐδὲ εἷς*. **Inde Grotius hunc senarium efformavit:** *ἀρχῶν δ' ἐμοὶ θεός ἐστι, θνητῶν δ' οὐδὲ εἷς*. **Equidem malim:** *ἄρχων ἐμοὶ θεὸς μὲν, ἀλλ' οὐδεὶς βροτῶν.*

CXVII. (795.)

Script. vit. Homer. (in Opusc. Mythol. ed. Thom. Gale. p. 367.) *Πάλιν δὲ τὸ Ὁμήρου* (Il. γ', 65.) *„Οὔ τοι ἀπόβλητ' ἐστὶ θεῶν ἐρικυδέα δῶρα" Σοφοκλῆς παρέφρασεν εἰπὼν*

Θεοῦ δὲ δῶρον τοῦτο. χρὴ δ', ὅσ' ἂν θεοὶ
διδῶσι, φεύγειν μηδὲν, ὦ τέκνον, ποτέ.

Quum eandem sententiam Attius in Alcmaeone (teste Nonio v. amplexa) sic expresserit, *Postremo amplexa fructum, quem di dant, cape.* Welcker p. 279. Attium fabulam suam ad Sophoclis exemplar composuisse, itaque versus istos ad Sophoclis Alcmaeonem referendos esse coniecit. Sed virum doctissimum ea in re falsum videri ad Alcmaeonis argumentum monuimus.

CXVIII. (796.)

Scriptor vitae Arati in Petavii Uranol. p. 151. (p. 274. ed. Paris. II. p. 437. ed. Buhl.) *οἱ δὲ Δία τὸν ἥλιον νοήσαντες λέγουσιν, ὅτι καὶ Σοφοκλῆς Δία τὸν ἥλιον καλεῖ λέγων.*

Ἥλιος οἰκτείρειέ με,
ὃν οἱ σοφοὶ λέγουσι γεννητὴν θεῶν
καὶ πατέρα πάντων.

Sic male exhibetur locus ab editoribus. In codd. est: *ἠελίοιο κτείρειε, ἐμέ. οἱ σοφοὶ λέγουσι γεννητὴν θεῶν, πατέρα πάντων.* Nisi maius vitium loco insidet, corrigendum saltem:

Ἥλιος ἐποικτείρειέ με,
ὃν οἱ σοφοὶ λέγουσι γεννητὴν θεῶν
πατέρα τε πάντων.

CXIX. (797.)

Eustath. ad Il. φ'. p. 1237, 21. *Διαγνωμονοῦντος Ἀχιλλέως ὅτι τε εὐψύχως ἔτι διάκειται καὶ διερῷ ποδὶ, καθ' Ὅμηρον, ἢ χλωρὸν γόνυ κατὰ Θεόκριτον ἔχων βαίνει, καὶ οὔπω δέος εἰς ἀλίβαντα καταπεσεῖν αὐτὸν ζῶντι ποδὶ χρώμενον, ὥς φησι Σοφοκλῆς.* Eodem haud dubie referendae sunt hae Hesychii glossae: *Ἀλίβας, νεκρὸς ἢ ποταμὸς ἢ ὄρος,* et v. *Ἀλύβας, ὄρος παρὰ Σοφοκλεῖ, ἢ πόλις, οἱ δὲ λίμνη ἐν Ἰταλίᾳ καὶ ἐν Τροίᾳ.* In extremis, quum turbato ordine verba legantur — nam debet esse: *ὄρος π. Σ. ἢ λίμνη. οἱ δὲ πόλις κτλ.* — recto ordine autem restituto confusa videantur urbs *Ἀλύβη* (Hom. Il. β'. 857.) cuius Hesychius ipse paullo post mentionem facit (*Ἀλύβη, πόλις Τρωϊκή,*) et *Ἀλύβας,* urbs Italiae Sicanis habitata (Od. ω'. 303.), vix potest dubium esse, quin priora verba *ὄρος παρὰ Σοφοκλεῖ ἢ λίμνη.* ex altera glossa illata sint, et omnino tota illa glossa v. *Ἀλύβας* e pluribus Hesychii locis a nescio quo sciolo consarcinata sint, confusis vocibus *Ἀλίβας, Ἀλύβας, Ἀλύβη.* Ad Sophoclem vero, ut

ex Eustathio liquet, tantummodo Ἄλιβας pertinet, quam sic explicavit Brunckius in lex. s. v. „videtur hoc nomine appellasse Sophocles inferorum paludem aut fluvium.“ Cuius explicationem egregie firmat Suid. et Gram. in Bekk. An. p. 376, 21. Ἄλιβας ὁ νεκρὸς ἢ ποταμὸς ἐν Ἅιδου. λέγεται ἄλιβας κατὰ τὸ ὄξος, παρὰ τὸ μὴ λείβεσθαι τοῖς θεοῖς. unde simul nominis causam cognoscimus. cf. Schol. ad Plat. Rep. III. p. 387. C. — Brunckius verba οὔπω δέος Eustathii esse opinatur.

CXX. (798.)

Eustath. ad Od. ε΄. p. 1538, 13. Λέγει δέ που καὶ Σοφοκλῆς τὸ „τηροῦντα τοὺς λέγοντας καὶ συνάγοντα τὰς ὀφρῦς καὶ τὰς ἀκάνθας ἐπεγείροντα.“ εἰπὼν τοῦτο ἐκεῖνος ὡς ἀπὸ ἰχθύων, οἳ τὰς ἀκάνθας ὀρθοῦσι καιρῷ θυμοῦ. De quibus verbis Brunckius sic iudicavit: „fefellit procul dubio memoria Eustathium: quae tanquam Sophoclis profert, tragicum minime redolent: Aristophanis potius esse crediderim. Non raro alios pro aliis auctores laudat Eustathius.“ At nescio an ea in dramate satyrico locum habere potuerint.

CXXI. (799.)

Schol. Hom. Il. α΄, 423. χρῶνται δὲ πλείονες ἄλλοι τῶν ποιητῶν τῇ κατὰ ἀντὶ τῆς ἐπί. Σοφοκλῆς

ἐγὼ κατ᾽ αὐτὸν, ὡς ὁρᾷς, ἐξέρχομαι.

cf. fgm. 345. vs. 2.

CXXII. (800.)

Schol. Hom. Il. β΄, 649. ἡ διπλῆ πρὸς τοὺς χωρίζοντας, ὅτι νῦν ἑκατόμπολιν, ἐν Ὀδυσσείᾳ δὲ ἐνενηκοντάπολιν. ἤτοι οὖν ἑκατόμπολιν ἀντὶ τοῦ πολύπολιν, ἢ ἐπὶ τὸν σύνεγγυς καὶ ἀπαρτίζοντα ἀριθμὸν κατενήνεκται νῦν, ἐν Ὀδυσσείᾳ δὲ τὸ ἀκριβὲς ἐξενήνοχεν, ὡς παρὰ Σοφοκλεῖ.

CXXIII. (801.)

Schol. Hom. Il. ι΄, 453. καὶ Σοφοκλῆς

Ὅς μὴ πέπονθε τἀμὰ μὴ βουλευέτω.

CXXIV. (802.)

Schol. Hom. Il. ν΄, 791. Ὀρθαῖον ὡς Ἀλκαῖον, ἐπεί φησι τὰ διὰ τοῦ αιος τρισύλλαβα, ἔχοντα τὴν πρώτην συλλαβὴν εἰς σύμφωνον καταλήγουσαν, προσπερισπᾶσθαι θέλει, χερσαῖος, ὀρφναῖος, ἐρσαῖος, ἀρχαῖος, Ἀρναῖος, Τρικκαῖος, Ἑρμαῖος. ὅθεν τὸ Ἑρμαῖον κάρα παρὰ Σοφοκλεῖ. cf. schol. Luc. I. p. 294. (Vol. IV. p. 82. Iacobitz.) Ἕρμαιον τὸ εὕρημα προπαροξυτόνως, τοῦ δὲ Ἑρμοῦ κτητικὸν προσπερισπᾶται. ἄλλοι δέ φασιν, ὅτι τὸ κτητικὸν Ἑρμεῖός ἐστι καὶ Ἕρμεος ἐκθλίψει τοῦ ι, ἀλλ᾽ οὐχ Ἑρμαῖος.

CXXV. (803.)

Schol. Hom. Il. π', 142. Ἐπίστατο, ἠδύνατο. καὶ Σοφοκλῆς

Οὐ πώποθ' ὑμᾶς συμβαλεῖν ἐπίσταμαι.

τῇ ἐπιστήμῃ δὲ προσάπτει τὴν δύναμιν.

CXXVI. (804.)

Schol. Hom. Il. σ', 274. Σθένος, τὴν δύναμιν, ὅ ἐστι τὴν στρατιάν. οὕτω καὶ οἱ συγγραφεῖς δύναμιν καλοῦσι τὸ στράτευμα. καὶ Σοφοκλῆς

Ἐν τοῖσιν ἵπποις τοῖσιν ἐκλελειμμένοις
ἴδιον εἰ χωρῶμεν ἢ παντὶ σθένει.

Schneidewinus (Coniect. crit. p. 101.) scribi iubet:

Σὺν τοῖσιν ἵπποις τοῖσιν ἐκλελεγμένοις
ἴδωμεν εἰ χωρῶμεν ἢ παντὶ σθένει.

ut sit ἐκλελεγμένοις i. q. ἐκλέκτοις, nisi forte ἐκλελημμένοις h. e. ἐξαιρέτοις corrigendum. Prius probabilius est; reliqua vero sic videntur restituenda:

Σὺν τοῖσιν ἵπποις τοῖσιν ἐκλελεγμένοις
Ἴλιον ἔσω χωρῶμεν ἢ παντὶ σθένει;

qui versus facile in *Lacaenis* vel in *Sinone* locum habere potuerunt. — Ahrens proposuit ἥδιον εἰ χωρ. minus apte.

CXXVII. (805.) *

Schol. Victorin. Hom. Il. τ', 292 et Paris. in Cram. An. Gr. Paris. Vol. III, p. 283. Ἐπιτείνεται τῇ ὄψει τὰ παθήματα καὶ Σοφοκλῆς

Ὄψις γὰρ ὤτων κριτικωτέρα πᾶσι.

Hunc locum haud temere a Sophocle adiudicavit et nihil nisi Sophoclei versus Oed. R. 1247 interpretationem esse videri Naekius (in Ind. lectt. Bonn. 1821) docuit. Attulerat eum primus Valckenarius ad Eur. Phoen. 1554.

CXXVIII. (806.)

Schol. Hesiod. Theog. 30. καί μοι σκῆπτρον ἔδον, δάφνης ἐριθηλέος ὄζον.) παρόσον ἡ δάφνη ἐνεργεῖ πρὸς τοὺς ἐνθουσιασμούς. Σοφοκλῆς·

Δάφνην φαγὼν ὀδόντι πρῖε τὸ στόμα.

Sic recte Brunckius pro vulg. πρίετο, qui primus etiam bene perspexit, verba ἐν Κασάνδρᾳ, quae vulgo post Sophoclis nomen leguntur, cum sequentibus καὶ Λυκόφρων κτλ. coniungenda esse.

CXXIX. (807.)

Schol. Pind. Olym. I, 97. Ἔνιοι δὲ, ὅτι τρία λέγεται κοινῶς καὶ τα πρὸς τὸν θάνατον συνεργοῦντα, ξίφος, ἀγχόνη, κρημνός. Σοφοκλῆς

Λύσω γὰρ, εἰ καὶ τῶν τριῶν ἓν οἴσομαι.

Welcker p. 501. not. 11. locum ad Phaedram rettulit.

CXXX. (808.)

Schol. Pind. Pyth. II, 125. Οἱ γὰρ Φοίνικες παλιγκάπηλοι. καὶ Σοφοκλῆς

Ὠνὴν ἔθου καὶ πρᾶσιν, ὡς Φοῖνιξ ἀνὴρ
Σιδώνιος κάπηλος.

Welcker p. 275. ad Epigonos refert.

CXXXI. (809.)

Schol. Pind. Pyth. IV, 213. καὶ Σοφοκλῆς

Χῶρος γὰρ οὗτός ἐστιν ἀνθρώπου φρενῶν,
ὅπου τὸ τερπνὸν καὶ τὸ πημαῖνον φύει.
δακρυρροεῖ γοῦν καὶ τὰ καὶ τὰ τυγχάνων.

Bamberger (Coniect. crit. Brunsvig. 1841. p. 11.) pro οὗτος maluit αὐτός, male. — Welcker p. 223. locum ad Hermionam rettulit.

CXXXII. (810.)

Schol. Pind. Nem. X, 59. Καὶ γὰρ τὸ πρῶτον ἔσχατόν ποτε δύναται γενέσθαι, καὶ το ἔσχατον πρῶτον. κέχρηται καὶ Σοφοκλῆς τῷ ἐσχάτῳ ἀντὶ τοῦ πρώτου

Ἤδη γὰρ ἕδρα Ζεὺς ἐν ἐσχάτῳ θεῶν.

Correxit Brunckius ἔχει γὰρ ἕδραν κτλ.

CXXXIII. (811.)

Schol. Aesch. Pers. 181. Ἐδοξάτην μοι δύο γυναῖκ' εὐείμονε) ἐντεῦθεν ἔλαβεν ὁ Σοφοκλῆς τὸ

Ἐδοξάτην μοι τὼ δύ' ἠπείρω μολεῖν.

Sic haec restituerunt Valcken. et Blomfield. ad Aesch. Pers. 186. pro vulg. μοι τάδ' ἠπείρω, nisi quod ille τὰ δύ' ἠπείρω scripsit. Apud Herodianum (Piersoni p. 435.) verba sic leguntur: ἐδόξατόν μοι τὰ Διιπείθου μολεῖν.

CXXXIV. (812.)

Schol. Eur. Orest. 480. Ὀργὴ γάρ) Σοφοκλῆς

Ὀργὴ γέροντος ὥστε μαλθακὴ κοπὶς
ἐν χειρὶ θήγει, σὺν τάχει δ' ἀμβλύνεται.

Vs. 2. Codd. Ven. et Vat. teste Cobetio ἐν τάχει.

CXXXV. (813.)

Schol. Eur. Orest. 592. *καὶ Σοφοκλῆς*

Ἀεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι.

In proverbium abiit versus, quem sine auctoris nomine afferunt Stob. Ecl. Phys. I, 3, 32. p. 122. ed. Heer. (p. 46. ed. Gaisf.) Diogenian. I, 58. Zenob. II, 44. Mich. Apostol. I, 40. Arsen. Viol. I, 73. p. 22. ed. Walz. Greg. Cypr. Mosq. I, 18.

CXXXVI. (814.)

Schol. (Eur.) Rhes. 105. ed. Cobet. *εἴθ' ἦσθ' ἀνὴρ εὔβουλος) ἔμπαλιν ὁ Σοφοκλῆς φησιν*

εἴθ' ἦσθα σώφρων ἔργα τοῖς λόγοις ἴσα.

In cod. est *ὁ σοφός φησιν*, quod correxit Cobetius. Ea de correctione dubitari tamen potest, quum Euripides nonnunquam *τοῦ σοφοῦ* nomine citari soleat.

CXXXVII. (815.)

Schol. Aristoph. Nub. 1162. (quem exscripsit Suid. v. *Λυσανίας*) *Λυσανίας πατρῴων μεγάλων κακῶν·) Λύων τὰς τοῦ πατρὸς ἀνίας. ἐκτεταμένως δὲ προενεκτέον τὴν πρώτην καὶ τὴν τρίτην συλλαβήν. πρὸς δὲ τὴν ὀνοματοποιίαν τὸν Σοφοκλέα μυκτηρίζει, λέγοντα*

Ζεὺς νόστον ἄγοι τὸν νικομάχαν
καὶ πανσανίαν κατ' Ἀτρειδᾶν.

Codd. *καὶ Ἀτρείδαν.* Brunckius *καὶ* eiecit, Bentleius *κατ'* correxit editoribus probantibus; sed *τὸν Ἀτρειδᾶν* maluit G. Hermannus, quod probandum videtur.

CXXXVIII. (816.)

Schol. Aristoph. Pac. 1164. — *φῖτυ τὸ σπέρμα, τὸ γένος. καὶ γάρ εἰσι φυτὰ πρὸ τοῦ καιροῦ τοὺς καρποὺς παρέχοντα, καὶ καλοῦνται πρῴϊμα. καὶ Σοφοκλῆς*

οὔτ' ἄλλο φῖτυ πρῷον

λέγει, ὅ ἐστι πρῴϊμον καὶ ὥριμον. Cod. *ἄλλο σπέρμα φῖτυ,* sed *σπέρμα* recte eiecit Th. Bergkius (Comment. de reliq. com. p. 345.)

CXXXIX. (817.)

Schol. Aristoph. Ach. 75. cf. Aesch. Fragm. 360.

CXL. (818.)

Schol. Aristoph. Av. 515. *ὄρνιν ἔχων ἐπὶ τῆς κεφαλῆς.) δέον εἰπεῖν ἐπὶ τοῦ σκήπτρου εἶπεν ἐπὶ τῆς κεφαλῆς. οὕτω γὰρ ὁ Πίνδαρος* (Pyth. I, 11.) *καὶ Σοφοκλῆς*

ὁ σκηπτροβάμων αἰετὸς, κύων Διός.

CXLI. (819.)

Schol. Aristoph. Av. 1240. *Διὸς μακέλλῃ.)* τοῦτό φησι παρὰ τὸ Σοφόκλειον

Χρυσῇ μακέλλῃ Ζηνὸς ἐξαναστραφῇ.

Sententia manca est. Praecessit fortasse ὅταν δόμος vel simile quid. Fritzschius (de Aesch. Niob. p. 21.) aureo Iovis ligone nihil ineptius esse dicens correxit: παρὰ τὸ Σοφόκλειον Χρύσῃ· „μακέλλῃ κτλ. Sed certe ἐν ante Χρύσῃ addere debebat. Omnino autem vir doctus sibi non constitit, sed paullo post (p. 24) hunc et reliquos vs., quibuscum ille apud Aristophanem coniunctus fuit, quamvis alia tradiderint scholiastae, ex Aeschyli Niobe petitos esse contendit. cf. Aesch. fragm. 155.

CXLII. (820.)

Schol. Aristoph. Lys. 8. (quem exscripsit Suid. v. τοξοποιεῖν. apud Bernh. v. τοξότης.) Τοξοποιεῖν τὰς ὀφρῦς. ἀντὶ τοῦ ἐσκυθρωπακέναι. ἀπὸ τοῦ παρακολουθοῦντος. τοιοῦτο γὰρ τὸ πρόσωπον τῶν ἐν μερίμνῃ ὄντων. Ὅμηρος (Il. ο', 102.) καὶ Σοφοκλῆς (κατὰ τὸ ἐναντίον addit. Suid.)

ὡς ἂν Διὸς μέτωπον ἐκταθῇ χαρᾷ.

Cod. ἐκτανθῇ. Suid. ἰάνθη, quod ex Homeri versu irrepsit. Sed ἐκταθῇ recte Schol. Hom., qui ad l. c. hunc vs. affert.

CXLIII. (821.)

Schol. Aristoph. Ran. 344. φλέγεται δὲ λειμών.) Λειμὼν γὰρ ἀνάκειται καὶ ἄνθη ἀνειμένα τοῖς μύσταις ἐν τῷ πεδίῳ. δηλοῖ δὲ καὶ Σοφοκλῆς. Brunckius haec in eadem fabula locum habuisse censet, in qua lectum sit fgm. 750.

CXLIV. (822.)

Schol. Aristoph. Plut. 541. ἀντὶ δὲ κλίνης στιβάδα σχοίνων κόρεων μεστήν, ἣ τοὺς εὕδοντας ἐγείρει.) Σοφοκλέους τὸ ἡμιστίχιον

ἐπειγομένων κερκίδος ὕμνοις,
ἣ τοὺς εὕδοντας ἐγείρει.

In cod. est οὐ κερκίδοις ὕμνους, quod correxit Dindorfius.

CXLV. (823.)

Schol. Theocr. XV, 48. κεκροτημένοι δέ—) ἀντὶ τοῦ ἐρραπισμένοι ἐθάδες πανούργων ἔργων. ἡ δὲ μεταφορὰ ἀπὸ τοῦ κεκροτημένου χαλκοῦ. καὶ Σοφοκλῆς

Τὸ πάνσοφον κρότημα Λαέρτου γόνος.

De cognomine κρότημα similibusque cf. Valck. ad Adoniaz. p. 357. Welcker p. 133. versum ad Palamedem refert.

CXLVI. (824.)

Schol. Apollon. Rhod. IV, 269. *Περὶ τῆς τοῦ Νείλου ἀναδόσεως* (*ἀναβάσεως* Paris.) *διάφοροι αἰτίαι τοῖς παλαιοῖς ἐλέγοντο. Ἀναξαγόρας μὲν γάρ φησι διὰ τὴν τῆξιν τῆς χιόνος πληθύειν αὐτόν· ᾧ ἕπεται Εὐριπίδης* (Helen. 1. sq.). *καὶ Αἰσχύλος καὶ Σοφοκλῆς ὑπέλαβον τοὺς κατ' Αἴγυπτον χιονίζεσθαι τόπους, καὶ τηκομένης τῆς χιόνος εἰς τὸν Νεῖλον ἐκδίδοσθαι.*

CXLVII. (825.)

Schol. Aristid. vol. III. p. 681, 33. *καὶ τὸ*

Φίλου κακῶς πράξαντος ἐκποδὼν φίλοι.

Σοφοκλέους ὂν παροιμιῶδες γέγονε. E Sophoclis (Euripidis corrigi iubet Unger. Parad. Theb. I. p. 374.) Oedipo affertur ibidem p. 85, 23, sine poetae nomine a schol. Soph. Electr. 188, ubi *ἀνδρὸς κακῶς πράσσοντος κτλ.* pariter atque apud schol. Eur. Phoen. 406. Diogenian. I, 79. Zenob. I, 90. Greg. Cypr. Mosq. I, 57, Macar. II, 6. ed. Leutsch. Menand. sent. monost. 32. Mich. Apost. II, 82. Arsen. Viol. p. 55. Walz. Suid. v. *ἀνδρὸς γέροντος*. Ad hunc vs. respexit Aristid. Panath. § 112. (vol. I. p. 112, 5. et p. 268, 11. Iebb.). — De sententia cf. Eur. Med. 561. Alc. 210. sq. Menand. sent. monost. 165. *ἐὰν δ' ἔχωμεν χρήμαθ', ἕξομεν φίλους.*

CXLVIII. (826.)

Menand. *περὶ ἐπιδεικτ.* c. 9. p. 599. (in Walzii Rhet. vol. IX. p. 156.) *Ἀλλὰ τὸν τοιοῦτον ὕμνον τῷ μὲν σχήματι διαφέρειν φημί, τῇ δὲ φύσει τὸν αὐτὸν εἶναι ἐκείνων ἑκάστῳ, ὥσπερ καὶ τὴν Τύχην Σοφοκλῆς ὕμνησε διαπορῶν γένει.*

CXLIX. (827.)

Gramm. Darmstadiensis in Act. Monac. II. p. 515. *Ἔστι δὲ τὸ φενακίζειν εἰπεῖν καὶ περὶ τοὺς φήληκας. Σοφοκλῆς ἐν ἰάμβῃ. καὶ φήληκας δέ φαμεν τοὺς πλανῶντας τὴν ὄψιν ὡς πεπείρους.* cf. Etym. M. p. 791, 34. *φήληξ τὸ ἠρέμα πεπανθὲν σῦκον. καὶ φήληκας δέ φαμεν τὰ διαπατῶντα τὰς ὄψεις σῦκα ὡς εἴη πέπειρα.* Schol. Aristoph. Pac. 1165. — G. Hermannus (de Aesch. Niobe. p. 6. Opusc. III. p. 41.) *Σοφ. ἐν Νιόβῃ* corrigendum esse censet, nisi forte scholion mutilum sit, ut vox e Sophocle allata *φηλώματα* fuerit, de qua similia, ut in isto scholio, leguntur in Etym. M. l. c. Bekk. An. p. 315, 11. Fritzschius (de Sophocl. Niobe p. 49.) vero corrigit *ἐν Ἰοβάτῃ*, A. Nauckius (in Philolog. IV. p. 540.) denique *ἐν Ἀμύκῳ*, quum *β* et *υ*, *κ* et *η* saepissime confusa sint.

CL. (828.)

Gramm. in Cram. An. Gr. Paris. I. p. 397. *Παροιμίαι Σοφοκλέους.*

Εἰ μὴ πατὴρ ἦς, εἶπον ἄν σ' οὐκ εὖ φρονεῖν.
Ἔνεστι κἀν μύρμηκι κἀν σέρφῳ χολή.

περὶ τοῦ μηδὲ τῶν εὐτελῶν καταφρονεῖν. — Prior vs. est ex Antig. 755, ubi libri nostri ἦσθ'; alterum etiam Suid. v. σέρφῳ omisso auctoris nomine affert, decurtatum exhibent Zenob. III, 70. Greg. Cypr. II, 35. Greg. Cypr. Mosqu. III, 8. Leutsch.

CLI. (829.)

Analect. gramm. (e cod. Ambros. C. 222.) ed. H. Keil. p. 8, 14. Μολοσσὸς δὲ κέκληται ἀπὸ Μολοσσοῦ, ὡς ὁ Κρητικὸς ἀπὸ τῶν Κρητικῶν, ἢ ὅτι τὰ μεγάλα Μολοσσικὰ ἐκάλουν. Σοφοκλῆς

Μολοσσικαῖσι χερσὶν ἐκτείνων χέρας.

Cod. χεῖρας, quod correxit Keilius. — Dubitat Schneidewinus (in Philol. III. p. 533.), an grammaticus poetae verba male intellexerit: nam ea posse de Neoptolemo (in *Peleo*) dicta esse, qui in Molossorum terra avum Peleum agnoverit.

CLII. (830.)

Gramm. in Bekk. An. Gr. p. 128, 27. Ἂν — τρὶς ἐν μιᾷ συντάξει — παρὰ Σοφοκλεῖ

Πῶς ἂν οὐκ ἂν ἐν δίκῃ
θάνοιμ' ἄν;

cf. Gregor. Cor. p. 43. Eur. Andr. 934. Trood. 1252. Plat. Apol. p. 31. A.

CLIII. (831.) *

Etym. M. p. 207, 17. Βουθοίη, πόλις τῆς Ἰλλυρίδος. Σοφοκλῆς Ὀνομακλεῖ (sic)

Βουθοίη Ἀρίλωνος ἐπὶ προχοῇσιν ἐνάσθη.

Heathius et Casaub. ad Athen. VII, 4. corrigunt Σοφ. ἐν Ἡρακλεῖ, Brunckius ἐν Ἰφικλεῖ vel Οἰκλεῖ probante Bergkio (in Zimmermanni Diar. Antiqu. 1836. p. 79.), Meinekius (Anal. Alex. p. 168.) de nomine et poetae et carminis dubitat versumque Callimacho vel Euphorioni tribui vult, Dindorfius (in H. Steph. Thes. II. p. 350. B.) locum Sophocli minori assignat et verba sic explicat: *in elegia ad Onomaclem.* Sed quum in cod. Marciano (Gaisfordo teste) lemma sit: σοφος ονο κλεῖ (μ supra), Hecker (in epist. crit. ad Schneidewinum inserta Philol. IV. p. 478.) coniecit: Σοφοκλῆς Οἰνομάῳ. Καλλίμαχος „Βουθοίη κτλ. haud improbabiliter.

CLIV. (832.)

Etym. M. p. 601. fin. Νεῖκος, ἡ φιλονεικία, παρὰ τὸ νέοις ἐοικέναι. ἡ γὰρ φιλονεικία τοῖς νεαροῖς ἁρμόζει. Σοφοκλῆς

Ὕβρις δέ τοι
οὐπώποθ' ἥβης εἰς τὸ σῶφρον ἵκετο,
ἀλλ' ἐν νέοις ἀνθεῖ τε καὶ φθίνει πάλιν,

Libri *ἡβήσει τῷ σώφρονι ἵκετο,* quod correxit Pierson. ad Moer. p. 181.

CLV. (833.)

Pollux. VI, 39. *Ἄβρωτος δὲ ὁ νῆστις παρὰ Σοφοκλεῖ, καὶ ἀβρωσία ἡ ἀσιτία.*

CLVI. (834.)

Bekk. An. Gr. p. 336, 6. Bachm. An. Gr. I. p. 21, 8. *Ἀγάζεις, ἀντὶ τοῦ θρασύνεις. Σοφοκλῆς.* Aliter Aesch. Suppl. 1047.

CLVII. (835.)

Bekk. An. Gr. p. 336, 7. Bachm. An. I. p. 21, 9. *Ἀγάμετος* (leg. *ἀγάμητος.* Lobeck. ad Phryn. p. 514.), *ἀντὶ τοῦ ἄγαμος. Σοφοκλῆς.* — Sophoclis locus fugisse videtur Pollucem (III, 48.) haec dicentem: *τῶν δὲ νέων κωμῳδῶν τινὲς τὸν ἄγαμον ἀγάμητον εἰρήκασιν κτλ.*

CLVIII. (836.)

Bekk. An. Gr. p. 325, 22. Bachm. An. I. p. 22. Suid. s. v. *Ἀγάσματα, σεβάσματα, ἃ ἄν τις ἀγάσαιτο. Σοφοκλῆς κέχρηται.*

CLIX. (837.)

Pollux II, 14. *Ὑπερίδης δὲ καὶ γηροβοσκὸν εἴρηκε, καὶ Ἄλεξις γηροβοσκεῖα, Ξενοφῶν δὲ τὴν ἀγήρατον δόξαν, Ὑπερίδης δὲ τὸν ἀγήρατον χρόνον, Σοφοκλῆς δὲ τὸν ἀγήρω καὶ Πλάτων τὸν ἀγήρω κόσμον, Θουκυδίδης δὲ τὸν ἀγήρων, ὡς καὶ Εὐριπίδης τὴν ἀγήρων ἀρετὴν καὶ Δημοσθένης τιμὰς ἀγήρως.* Wunder ad Antig. 603 refert sine idonea causa.

CLX. (838.)

Bekk. An. Gr. p. 340, 22. Bachm. An. I. p. 25, 20. *Ἄγχαζε, ἀντὶ τοῦ ἀναχώρει. οὕτως Σοφοκλῆς.*

CLXI. (839.)

Phot. p. 6, 8. Bekk. An. Gr. p. 340, 26. Bachm. An. I, p. 25, 25. *Ἀγωγεύς, ὁ ἱμὰς τῶν κυνηγετικῶν κυνῶν. οὕτως Σοφοκλῆς.*

CLXII. (840.)

Pollux III, 141. *Σοφοκλῆς δὲ τὴν ἀγωνοθεσίαν ἀγωνοθήκην μοχθηρῶς ἐκάλεσεν.* Viri docti a Sophocle usurpari *ἀγωνοθήκη* potuisse negantes correxerunt *ἀγωνοθέτις* vel *ἀγωνόθεσις* (cf. Lobeck. ad Phryn. p. 500.). Sed quid sibi vellet Pollucis reprehensio, si poeta ea voce non usus esset? — Equidem locum ad Larissaeos rettulerim.

CLXIII. (841.)

Phot. p. 9, 23. v. Ἀδηφάγοι. — ἔφη δὲ καὶ ἀδηφαγοῦσα Σοφοκλῆς καὶ ἀδηφαγεῖν Ἕρμιππος. Scripserat fortasse Sophocles in *Philocteta in Troia:* ἀδηφαγοῦσα[γὰρ]νόσος κτλ. cf. Philoct. 313.

CLXIV. (842.)

Bekk. An. Gr. p. 343, 11. Bachm. An. I. p. 29, 25. Ἀδικότροπος ἐρεῖς καὶ ἀδικοχρήματος, ὡς Κράτης, καὶ ἀδικόχειρας, ὡς Σοφοκλῆς.

CLXV. (843.)

Hesych. Ἀδρέπανον, ἄδρεπτον, θεοῖς ἀνακείμενον. Σοφοκλῆς.

CLXVI. (844.)

Bekk. An. p. 345, 13. Bachm. An. I. p. 32, 11. Ἀδρῦναι· ἀδρὸν καὶ μέγα ποιῆσαι. Σοφοκλῆς.

CLXVII. (845. a. b.)

Bekk. An. 347, 25. Bachm. An. I. p. 34, 30. Σοφοκλῆς δὲ τὴν εὐθεῖαν εἶπεν „ἀείζως γενεά. ἀπὸ δὲ τῆς ζωὸς δισυλλάβου εὐθείας φιλόζωος εἶπεν. cf. Aesch. fgm. 29. b. Alterum fgm. omisit Dindorfius.

CLXVIII. (846.)

Bekk. An. p. 347, 30. Bachm. An. I. p. 35, 4. — ἀείζων πένθος ἐρεῖς, ὡς Σοφοκλῆς ἀείζων ἕλκος. Cf. fgm. 845. et Aesch. Suppl. 960. ἀείζων ἄχθος.

CLXIX. (847.)

Bekk. An. p. 348, 17. Bachm. An. I. p. 35, 24. Ἄζειν, τὸ στένειν. Σοφοκλῆς. Quominus Valckenario (Diatr. p. 23. D.) et Brunckio auctoribus αἰάζειν corrigatur, et ordo literarum prohibet et ipsa, quam adiecit grammaticus, vocis interpretatio: τὸ διὰ τοῦ στόματος ἀθρόως ἐκπνεῖν ἄζειν λέγουσιν Ἀττικοί, μιμούμενοι τὸν ἦχον τοῦ πνεύματος. οὕτω Νικόχαρις. Unde facile *ingemescendi* significationem deduci potuisse perspicitur.

CLXX. (848.)

Bekk. An. p. 348, 26. Bachm. An. I. p. 36, 4. Ἀζησία. οὕτως ἡ Δημήτηρ παρὰ Σοφοκλεῖ καλεῖται. οἱ δὲ, τὴν εὐτραφῆ. Videndum, ne grammatici verbis error insideat: nam haec tradit Zenob. IV, 20, Ἡ Ἀμαία τὴν Ἀζησίαν μετῆλθεν. ἱστορεῖ Δίδυμος, ὅτι Ἀμαία μὲν ἡ Δημήτηρ παρὰ Τροιζηνίοις προσαγορεύεται, Ἀζησία δὲ ἡ Κόρη. Ἀπὸ γοῦν τῆς ἱστορίας ἡ παροιμία προήχθη. Λέγεται δὲ ἐπὶ τῶν πολυχρονίῳ ζητήσει χρωμένων. Πλούτωνος γὰρ Περσεφόνην ἁρπάσαντος ἡ Δημήτηρ ἀνὰ πᾶσαν τὴν γῆν περιῄει ταύτην ζητοῦσα. Idem brevius tradunt Mich. Apost. II, 54. ed. Leutsch. Suid. s. v. Ἀζησία. Arsen. III, 32. p. 50. Walz. cf. Leutsch. ad Zenob. l. c.

CLXXI. (849.)

Bekk. An. Gr. p. 353, 4. Bachm. An. I. p. 40, 33. *Ἀθαυμάστως Σοφοκλῆς εἶπεν.*

CLXXII. (850.)

Bekk. An. p. 353, 5. Bachm. An. I. p. 41, 1. *Ἀθέμιστα καὶ ἀνόσια δρᾶν Δείναρχος εἶπε καὶ Σοφοκλῆς.*

CLXXIII. (851.)

Bekk. An. p. 352, 16. Bachm. An. I. p. 40, 13. *Ἀθρακτος, ἀτάραχος. καὶ τὸ συνεχύθη ἐθράχθη Σοφοκλῆς λέγει.*

CLXXIV. (852.)

Bekk. An. p. 362, 21. Bachm. An. I. p. 51, 24. *Αἱματορρόφον· Σοφοκλῆς*

Τίσις δ' ἄνωθεν εἰσιν αἱματορρόφος.

cf. Aesch. Eum. 184.

CLXXV. (853.)

Bekk. An. p. 360, 18. Bachm. An. I. p. 49, 12. *Αἱματῶσαι· ἀντὶ τοῦ φονεῦσαι. Σοφοκλῆς.* Eadem habet Etym. M. p. 35, 8 sine poetae nomine.

CLXXVI. (854.)

Bekk. An. p. 361, 2. Bachm. An. I. p. 49, 29. *Αἰολίζειν, τὸ ποικίλλειν. οὕτως Σοφοκλῆς.* Grammaticus praebet *αἰολίζειν*, quod Ellendtio (Lex. I. p. 41.) in *αἰόλλειν* mutandum videtur.

CLXXVII. (855.)

Bekk. An. p. 367, 15. Bachm. An. I. p. 57, 1. *Ἀκληρία, ἀντὶ τοῦ ἀτυχία. οὕτω Σοφοκλῆς.*

CLXXVIII. (856.)

Bekk. An. p. 367, 20. Bachm. An. I. p. 57, 8. *Ἀκόλαστος ὄχλος Εὐριπίδης* (Hec. 607.) *ἔφη, ἀκόλαστον δὲ σῶμα Σοφοκλῆς.*

CLXXIX. (857.)

Bekk. An. p. 367, 32. Bachm. An. I. p. 57, 19. *Ἀκολουθία· ἡ ἀκαλούθησις. Σοφοκλῆς.*

CLXXX. (858.)

Bekk. An. p. 372, 13. Bachm. An. I. p. 62, 18. *Ἄκουε σῖγα. Κρατῖνος· „Ἄκουε σῖγα, πρόσεχε τὸν νοῦν, δεῦρ' ὅρα.“ καὶ Σοφοκλῆς·*

Ἄκουε σῖγα· τίς ποτ' ἐν δόμοις βοή;

CLXXXI. (859.)

Bekk. An. p. 369, 13. Bachm. An. I. p. 59, 7. *Ἀκουσείων*, ἀντὶ τοῦ ἀκουσόμενος. Σοφοκλῆς. Dobraeus (Add. ad Arist. Thesm. 1178. Pors.) correxit ἀκούσειεν.

CLXXXII. (860.)

Bekk. An. p. 372, 14. Bachm. An. I. p. 62, 20. *Ἀκουσέτην* Σοφοκλῆς ἔφη, ἀκούσεσθαι δὲ Ἀριστοφάνης. Scribendum esse ἀκούσετον, ut Sophocles aliquando ἀκούσω pro ἀκούσομαι posuerit, inde apparet, quod grammaticus Sophocli Aristophanem opposuit forma ἀκούσομαι usum.

CLXXXIII. (861.)

Bekk. An. p. 373, 13. Bachm. An. I. p. 63, 21. *Ἀκουσία*, τὸ [ἀκούσιον excidisse videtur.] πρᾶγμα. Σοφοκλῆς

Ἐξαίρετον τίθημι τὴν ἀκουσίαν.

CLXXXIV. (862.)

Bekk. An. p. 373, 1. Bachm. An. I. p. 63, 9. *Ἀκουσίμη*, ἀντὶ τοῦ ἀκουστή. Σοφοκλῆς

Σπονδὴ γὰρ ἡ κατ᾽ οἶκον ἐγκεκριμμένη
οὐ πρὸς θυραίων οὐδαμῶς ἀκουσίμη.

δύναται καὶ φωνὴ ἀκουσίμη λέγεσθαι. Welcker. p. 149 locum ad Lacaenas refert.

CLXXXV. (863.)

Bekk. An. p. 373, 15. Bachm. An. I. p. 63, 23. *Ἀκροφύσιον*, τὸ τῇ χώνῃ προστιθέμενον. Σοφοκλῆς. Cf. Etym. M. p. 53, 20. *ἀκροφύσια*. τὰ ἀκροστόμια τῶν ἀσκῶν. Thuc. IV, 100.

CLXXXVI. (864.)

Bekk. An. p. 383, 4. Bachm. An. I. p. 74, 24. *Ἀλεύσω*, ἀντὶ τοῦ φυλάξω. Σοφοκλῆς. cf. Aesch. Prom. 567. Sept. 87. 128. Suppl. 523.

CLXXXVII. (865.)

Bekk. An. p. 383, 11. Bachm. An. I. p. 75, 2. *Ἀλίνουσιν*, ἀντὶ τοῦ λεπτύνουσι. Σοφοκλῆς. cf. Hesych. *ἀλινεῖν* (sic), ἀλείφειν et *ἀλῖναι*, ἐπαλεῖψαι.

CLXXXVIII. (866.)

Bekk. An. p. 383, 31. Bachm. An. I. p. 75, 22. *Ἀλκάθω* καὶ *ἀλκάθειν* (leg. *ἀλκαθεῖν*). Σοφοκλῆς, καὶ Αἰσχύλος. σημαίνει τὸ βοηθεῖν.

CLXXXIX. (867.)

Bekk. An. p. 376, 32. Bachm. An. I. p. 67, 23. *Ἀλλά*, ἀντὶ τοῦ ὅταν. Σοφοκλῆς. Similia tradunt Schol. Plat. p. 336. τὸ ἀλλὰ

λαμβάνεται καὶ ἀντὶ τοῦ ἔστω, καὶ ἀντὶ τοῦ ὅταν δὲ, καὶ ἀντὶ τοῦ ἔπειτα δέ. Suid. p. 97. v. Ἀλλά. ἀντὶ τοῦ ὅταν δὲ καὶ ἀντὶ τοῦ γέ. Recte autem pro ὅταν Brunckius κἄν correxisse videtur, nam haec tradit Hesych. Ἀλλά. κἄν. ἢ ἔπειτα. quocum aliquid similitudinis habent, quae leguntur in Etym. M. p. 66, 41. ἀλλά. ἀντὶ τοῦ καί. οἷον ἡμέρα μέν ἐστιν, ἀλλὰ τὰ νέφη οὐχ ὁρῶ." Haud dubie enim grammaticus locos respexit, ubi ἀλλὰ sicut κἄν gradationi faciendae inservit, de quo dicendi usu vide Elmsl. ad Eur. Med. 912. Heracl. 565. Pflugk. ad Eur. Med. l. c. Herc. fur. 331. Förtsch. observ. crit. in Lys. p. 3. sq. Heindorf. ad Plat. Soph. § 44. Iacobs. ad Anthol. Pal. III. p. 535. Ellendt. Lex. I. p. 80. nr. 7.

CXC. (868.)

Bekk. An. p. 376, 31. Bachm. I. 67, 21. Suid. Ἀλλάχθητε· ἀντὶ τοῦ διαλλάχθητε. Σοφοκλῆς.

CXCI. (869.)

Etym. M. p. 69, 41. Ἀλοιμός· τὰς χρίσεις καὶ τὰς ἐπαλείψεις ἀλοιμοὺς ἔλεγον. Σοφοκλῆς·

Μαριεὺς ἀλοιμός.

ἡ ἐπάνω τῆς τοῦ θαλάμου γανώσεως ἐνιεῖσα (ἐνεθεῖσα Hemsterh. et Gaisf.) ἐπάλειψις, καθαπερανεὶ πετάλωσις οὖσα ἐν αὐτῷ. Cf. fgm. 70. — Μαριεὺς dictus, inquit Brunckius, ab urbe Cypri Mario, quae postea appellata fuit Arsinoe.

CXCII. (870.)

Phrynich. προπ. σοφ. in Bekkeri An. p. 14, 20. Hesych. Ἄμισθος. χωρὶς μισθοῦ. Σοφοκλῆς·

Ἄμισθος ὁ ξένος πορεύεται.

CXCIII. (871.)

Suid. Ἀμυχνόν. τὸ μὴ μυσαρὸν ἀλλ' ἁγνὸν καὶ καθαρόν. οὕτω Σοφοκλῆς. γράφεται δὲ καὶ ἀμυχρόν. Sed idem habet s. v. Ἀμυγνόν. τὸ μὴ μυσαρὸν ἀλλ' ἁγνὸν καὶ καθαρόν. οὕτω Σοφοκλῆς. ut dubitari possit, an utraque forma usus sit Sophocles an alterautra in errore posita sit. Hanc sententiam amplectitur Brunckius ἀμυγνὸν vitiosum esse dicens, cuius iudicium confirmatur Hesychio v. Ἀμυσχρόν (sic cod. Marc.) καθαρόν. Ex hoc autem etiam in altero Suidae loco pro ἀμυχρόν corrigendum esse ἀμυσχρόν liquet. Quae correctio nescio an pariter inferenda sit in Suidae glossam: ἀμύσκαρον· τὸ ἁγνόν.

CXCIV. (872.)

Eustath. p. 1405, 30. Ἀμφώβολα, παρὰ Σοφοκλεῖ αἱ διὰ σπλάγχνων μαντεῖαι.

CXCV. (873.)

Hesych. Ἀναστρέφων, ἀνούμενος. Σοφοκλῆς.

CXCVI. (874.)

Hesych. Ἀναψύχουσα, ξηραίνουσα, ῥιπίζουσα. Σοφοκλῆς. cf. Eur. Hel. 1100.

CXCVII. (875.)

Hesych. Ἀντίπρωρα, ἀντιπρόσωπα. πρῶρα γὰρ τὸ πρόσωπον. καὶ ἀνδρόπρωρος, ἀνδροπρόσωπος. Σοφοκλῆς Τραχινίαις. Non haec vox, sed illa in Trach. (223.) legitur. Nisi igitur Hesychius has voces inter se confudit, in fabulae titulo errorem latere statuendum est; nam vox ἀνδρόπρωρος ipsa confirmatur Empedocl. 215. cf. Blomf. Gloss. ad Aesch. Prom. 431.

CXCVIII. (876.)

Pollux. III, 107. τὸν δὲ ἄνοσον καὶ ἀνόσητον Σοφοκλῆς.

CXCIX. (877.)

Bekk. An. p. 407, 12. Bachm. An. I. p. 101, 19. Suid. s. v.

Ἀντάρης νυκτερὶς ὄψεσι.

φησὶ Σοφοκλῆς. Egregie ac verissime correxit Ellendtius (Lex. I. p. 170. II. p. 171.) ἀντήρης νυκτεραῖς ὄψεσι h. e. *somniis oblatum*.

CC. (878.)

Bekk. An. p. 414, 2. Bachm. An. I. p. 109, 4. Ἄορνος· λίμνη (vulgo λιμὴν) περὶ Τυρσηνίαν — εἶναι δὲ καὶ νεκυομαντεῖον ἐν τῇ Τυρσηνίᾳ λίμνῃ Σοφοκλῆς φησί· cf. Strabo V. p. 244. sq. Welcker p. 248. haec in Ὀδυσσέα ἀκανθοπλῆγα infert, quum eiusmodi oraculum *illic* ad Ulixem vulgo referatur. cf. Mus. Rhenan. III. (1844.) p. 613. Huc etiam facit Etym. M. p. 192, 45. Βαιαί, αἱ ἐν Ἰταλίᾳ, ἀπὸ Βαίου τοῦ Ὀδυσσέως κυβερνήτου ἐκλήθη, τελευτήσαντος κατὰ τὴν ἄορνιν (ἄορνον Hemsterh.) τῆς Ἰταλίας.

CCI. (879.)

Hesych. Ἀπαιόλημα, ἀποκάθαρμα, ἢ ἀποπάτημα (leg. ἀπάτημα cf. Suid. s. v. Schol. Aesch. Choeph. 996.) ἢ ἀποπλάνημα. Σοφοκλῆς. Similiter Bekk. An. p. 419, 13. Bachm. An. I. p. 114, 1. Ἀπαιόλημα, ἀποπλάνημα, ἀποκάθαρμα, ἢ θεόν τινα ἀπατητικόν. Cf. Aesch. fgm. 178.

CCII. (880.)

Hesych. Ἀπάνθρωπος (cod. vulgari compendio ἀπάνος) σκληρὸς, ἀνόητος, ἄφρων, ἀνελεήμων. Σοφοκλῆς ἀπανί · · · (sic cod.) Extrema

voce, nisi forte glossae, quae interiit, initium continetur, depravatus fabulae titulus exhiberi videtur.

CCIII. (881.)

Etym. M. p. 123, 13. *Ἀπληγίς· τὸ ἁπλοῦν ἱμάτιον, ὅπερ Ὅμηρος* (Il. ω', 230. Od. ω', 275.) *ἀπλοΐδα καλεῖ. Σοφοκλῆς*

Τρύχει καλυφθεὶς Θεσσαλικῆς ἀπληγίδος.

cf. Hesych. s. v. Pro *Θεσσαλικῆς* corrigit Valck. ad Phoen. 115. *Θεσσαλίδος*, Dindorfius et Ellendtius (Lex. I. p. 798.) *Θεσσαλῆς*. cf. Electr. 693.

CCIV. (882.)

Pollux. VII, 44. — *καὶ ἀποδῦσαι καὶ ἀπολωπίσαι, ὡς Σοφοκλῆς, καὶ περιλωπίσαι, ὅπερ Ὑπερίδης περιδῦσαι εἴρηκεν.*

CCV. (883.)

Bekk. An. 432, 6. Bachm. An. I. p. 129, 15. *Ἀπόμορφα, ξένα, οὐκ ἐοικότα τοῖς ἤθεσιν. οὕτως Σοφοκλῆς.*

CCVI. (884.)

Bekk. An. p. 439, 10. Bachm. An. I. p. 137, 9. *Ἀποφανῶσαι, εἰς τὸ φανερὸν καταστῆσαι. οὕτως Σοφοκλῆς.* Cf. fgm. 73.

CCVII. (885.)

Hesych. *Ἄρητον, βλαβερὸν, πολυχρόνιον. Σοφοκλῆς συνώνυμον. ὕστερον ἄρητος Ἡρακλῆς παρὰ Μακεδόσιν.* cf. Schol. Hom. Il. ρ', 37. *ἀρητὸν. ἤτοι βλαβερόν. κατὰ τὴν ἀρὰν, ὅ ἐστι βλάβην, ἢ τὸν ἀπευκτόν.* Suid. s. v. Pro *συνώνυμον* Scaliger correxit *Σίνωνι*, Ellendt. (Lex. I. p. 226.) *Οἰνομάῳ*, sed possit etiam *Συνδείπνῳ* scribi.

CCVIII. (886.)

Eustath. p. 135. 25. *Δῆλον, ὅτι τοῦ περιφραδέως προϋπάρχει τὸ φραδὴς φραδέος ἀπὸ τοῦ φράζω. ὡς τὸ „φραδέος νόου ἔργα τέτυκται* (Il. ω', 354.)". *ὅθεν σύνθετον ὁ παρὰ Σοφοκλεῖ ἀριφράδης ἀνήρ, καὶ ὁ πρὸς διαστολὴν αὐτοῦ βαρυνόμενος Ἀριφράδης τὸ κύριον.* G. Hermannus hunc locum ad Antig. 347. ubi in libris est: *περιφραδὴς ἀνὴρ*, pertinere dixit, sed hoc nec Wundero nec mihi potuit persuadere.

CCIX. (887.)

Hesych. *Ἀρραγὲς ὄμμα, οὐ δάκρυον. ᾧ τρόπῳ φαμὲν κατερράγη μου δάκρυον. Σοφοκλῆς * * σατυρικῷ.* Cf. fgm. 731.

CCX. (888.)

Bekk. An. p. 447, 5. Bachm. An. I. p. 146, 13. *Ἄρταμος,*

κρεουργὸς, μαγειρός. τάττει αὐτὸ Σοφοκλῆς ἐπὶ τοῦ φονέως. Cf. Aesch. fgm. 410. Eurip. fgm. 609.

CCXI. (889.)

Pollux. VII, 36. Σπάθη, ὅθεν καὶ τὸ σπαθᾶν, καὶ τὸ ἀσπάθητος χλαῖνα παρὰ Σοφοκλεῖ, καὶ σπαθητοῖς ὑφάσμασιν. Hesych. v. Ἀσπάθητον χλαῖναν, τὴν δορὰν, παρ' ὅσον οὐχ ὕφανται. Bekk. An. p. 453, 18. Bachm. An. p. 153, 9. Eustath. p. 757, 7. ἀσπάθητον χλαῖναν. τὴν ἀνύφαντον. cf. Aesch. fgm. 342.

CCXII. (890.)

Bekk. An. p. 459, 31. Bachm. An. I. p. 160, 9. Ἀτιμαγέλης, ὁ ἀποστάτης τῆς ἀγέλης ταῦρος. οὕτως Σοφοκλῆς., cf. Theocr. Id. XXV, 132.

CCXIII. (891.)

Hesych. Αὐλῶπιν, αὐλοὺς ἔχουσαν. Σοφοκλῆς δὲ τὴν λόγχην τὴν μακρὰν αὐλῶπιν εἶπεν. Verba Σοφοκλῆς δὲ κτλ. falso s. v. αὐλῶπις legebantur.

CCXIV. (892.)

Bekk. An. p. 467, 29. Bachm. An. I. p. 168, 16. Αὐτόν. Σοφοκλῆς ἀντὶ τοῦ ἐμαυτὸν καὶ Λυσίας ἐν τῷ κατ' Ἰφικράτους καὶ πολλοὶ ἄλλοι. σημαίνει δὲ καὶ τὸ μόνος. — cf. Ellendt. Lex. I. p. 272. sq.

CCXV. (893.)

Bekk. An. p. 467, 15. Bachm. An. I. p. 168, 4. Αὐτόπαιδα, αὐτὸν τρόπῳ τινὶ παῖδα ὄντα. Σοφοκλῆς. Eadem omisso poetae nomine habet Hesych. s. v. Brunckius locum ad Trachin. 826 (ἀναδοχὰν τελεῖν πόνων τῷ Διὸς αὐτόπαιδι) rettulit, sed ibi et dativus legitur et schol. sic explicat verba: γνησίῳ παιδί. Recte igitur monuit Ellendt. (Lex. I. p. 264.) alium Sophoclis locum a grammatico esse respectum.

CCXVI. (894.)

Phryn. App. Soph. in Bekk. An. p. 28, 28. Ἀχανὲς, τὸ μὴ ἔχον στέγην ἢ ὄροφον. ἐπὶ τοῦ λαβυρίνθου Σοφοκλῆς. Locus haud dubie ad Daedalum vel ad Camicios pertinet.

CCXVII. (895.)

Pollux. VII, 70. Ἡ δὲ βαίτη ἐστὶ μὲν προμήκης χιτὼν, οὕτω δὲ Σοφοκλῆς καὶ τὰς σκηνὰς τὰς βαρβαρικὰς καλεῖ.

CCXVIII. (896.)

Athen. XV. p. 690. C. allato Ionis fgm. 26. pergit: μνημονεύει τῆς βακκάριδος καὶ Σοφοκλῆς.

CCXIX. (897.)

Hesych. *Βάσκανος·* φθονερὸς, ἀχάριστος, συκοφάντης. Σοφοκλῆς δὲ ἰδίως τὸ *βάσκανον* ἐπὶ τοῦ (cod. ἔπειτα) ἀχάριστος· καὶ ὁ συκοφάντης παρὰ τοῖς ῥήτορσιν. Cf. Etym. M. p. 190, 21. Bekk. An. p. 222, 16.

CCXX. (898.)

Etymol. Leidens. in Valckenari Excerpt. et in Gaisf. adnot. ad Etym. M. p. 200, 33. *Βλίζειν* καὶ Ἀττικῶς *βλίττειν*, τὸ ἀφαιρεῖν τὸ μέλι ἀπὸ τῶν κηρίων, τουτέστιν ἐκπιέζειν καὶ θλίβειν. Σοφοκλῆς

Ἡ σφηκιὰν βλίττουσιν εὑρόντες τινά.

Omisso Sophoclis loco paene eadem leguntur apud schol. Aristoph. Equ. 794. (Suid. v. βλίττειν) Etym. M. l. c. De voce disputavit Ruhnk. ad Tim. p. 63. — Ellendtius (Lex. I. p. 310.) scribendum esse dicit βλίζουσιν, quod sciolorum ignorantia obliteratum sit, ne Sophocles non Attice loqueretur. Quod si non verum sit, scribendum certe est βλίσσουσιν. Schneidewino (in Annal. Gotting. doct. 1852. p. 428) versus in Pandoram inferendus videtur propter fgm. 457. Vide h. l.

CCXXI. (899.)

Athen. VIII. p. 409. B. τὰ γὰρ τοιάδε ῥηματικὰ σύνθετα εἰς ψ λήγοντα γεγονότα παρὰ τὸν παρακείμενον τὴν παραλήγουσαν τοῦ παρακειμένου φυλάσσουσιν, ἄν τε ἔχῃ τοῦτον διὰ τῶν δύο μμ λεγόμενον βαρύνεται, λελείμμαι αἰγίλιψ, τέτριμμαι οἰκότριψ, κέκλεμμαι *βοΐκλεψ*, *παρὰ Σοφοκλεῖ* Ἑρμῆς, βέβλεμμαι κατῶβλεψ, παρὰ Ἀρχελάῳ τῷ Χερρονησίτῃ ἐν τοῖς Ἰδιοφυέσιν. In cod. Marc. est βοοίκλεψ, in reliquis βοΐκλεψ, in Epitom. et ap. Eustath. p. 1401, 14. βοόκλεψ, quod Dindorfius in Athenaei edit. retinuit, in Soph. fragm. edit. vero in βοΐκλεψ correxit.

CCXXII. (900.)

Zenob. II. 65. *Βοιώτιος νόμος·* ἐπὶ τῶν τὰς μὲν ἀρχὰς ἠρεμούντων, ὕστερον δὲ τοῖς κακοῖς ἐπιτεινόντων, ὥς φησι Σοφοκλῆς·

Ὅταν τις ᾄδῃ τὸν Βοιώτιον νόμον.

Εἴρηται δὲ ἡ παροιμία, παρόσον Βοιωτοὶ πρότερον βίον ἄλυπον καὶ ἤρεμον ἔχοντες μετὰ τελευτὴν Λαΐου πολλοῖς κακοῖς περιέπεσον. Horum similia habent Greg. Cypr. I, 92. Apost. V, 4. ed. Leutsch. Arsen. (XIII, 21.) p. 145. ed. Walz. cf. Aristoph. Acharn. 14. Δεξίθεος εἰσῆλθ' ᾀσόμενος Βοιώτιον. ad quem locum schol. τὸ δὲ Βοιώτιον μέλος, ὅπερ εὗρε Τέρπανδρος, ὥσπερ καὶ τὸ Φρύγιον. — Sophoclis versus haud dubie in dramate satyrico locum habuit.

CCXXIII. (901.)

Eustath. p. 1625, 46. Ἀριστοφάνης ὁ γραμματικὸς ἐν τῷ περὶ ὀνομασίας ἡλικιῶν — — λέγει, ὅτι κατὰ τὴν δάμαλιν Σοφοκλῆς ἔφη

γηγενῆ βούβαλιν.

cf. Aesch. fgm. 386.

CCXXIV. (902.)

Etym. M. p. 213, 26. Βρίακχος· θηλυκῶς, ἡ βάκχη ἡ βριαρῶς ἰακχάζουσα. Σοφοκλῆς·

Ἔγω δὲ χερσὶν ἄγραν βρίακχον.

Correxit Brunckius: ἔχω δὲ χερσὶν ἀγρίαν βρ., sed haud dubie verba non uno versu comprehendenda sunt. Malim igitur: Ἐγὼ δὲ χερσὶν ἀγρίαν | [ἔχω] βρίακχον. vel: Ἔχω δὲ χερσὶν ἀγρίαν | βρίακχον.

CCXXV. (903.)

Hesych. Βωλόναι, οἱ μὲν κολώνας, οἱ δὲ Κίλλαιον ἀκούουσι διὰ τὸ ἀνακεχῶσθαι, παρὰ Σοφοκλεῖ.

CCXXVI. (904.)

Eustath. p. 1923, 63. Γέρων, παλαιός. — λέγει δὲ, φασί, καὶ Σοφοκλῆς πληθυντικῶς

σὺ γὰρ γέροντα βουλεύεις.

ἤγουν παλαιὰ, ἀρχαῖα. — Quamquam haud raro γέρων adiectivi vim obtinet (cf. Hom. Od. χ', 181. Aesch. Sept. 604. Ag. 730. Choeph. 794. fgm. 387. Soph. El. 25. OC. 1261. Eur. Or. 457. 529. e. a. l. cf. Valck. ad Phoen. 103.), tamen A. Nauckio (in Philol. IV. p. 540.) illud γέροντα nimis audacter dictum videtur, quare poetam, nisi ad γέροντα substantivum adiecerit, scripsisse censet: σὺ γὰρ, γέρον, γέροντα βουλεύεις. Equidem contra Sophoclem: σὺ γὰρ, | νέος μὲν ὢν, vel νέος περ ὢν (cf. Phil. 1068.) γερ. β. ὅμως vel similiter scripsisse crediderim.

CCXXVII. (905.)

Hesych. Γλοιάς. ἡ κακοήθης ἵππος καὶ πολυδίκη (cod. πολυδίκ.) παρὰ Σοφοκλεῖ. καὶ γλοίης τὸ αὐτό. Brunckius haec corrupta dicit: si autem Sophocles γλοιάδα ἵππον scripserit, significationem potius arcessi a nomine γλοιὸς, quo usus est Aristoph. Nub. 448, et intelligi mavult de *equo lapsui obnoxio*. Sed hanc vim voci γλοιὸς non inesse apparet ex schol. ad Arist. l. c. Μάσθλης ἰδίως ὁ μεμαλαγμένος λῶρος καὶ ἔκλυτος. μάσθλης οὖν ἐνταῦθα ὁ πολυγνώμων καὶ μηδὲν βέβαιον μηδὲ σταθερὸν γινώσκων. ἢ ὁ ἱμαντώδης, καὶ μαστιγίας, ἀπὸ μεταφορᾶς τοῦ μεμαλαγμένου ἱμάντος, ἢ οὕτως εὔτονος ὡς ἱμάς. — Γλοιὸς τὸ αὐτὸ δηλοῖ τῷ μάσθλης. εἴληπται δὲ ἡ μεταφορὰ ἀπὸ νοῦ ἐν τοῖς βαλανείοις ἐλαίου πεπηγότος, ὅπερ τοὺς ἐπιλαμβανομένους διολισθάνειν πέφυκε. τοιοῦτος οὖν καὶ ὁ πρεσβύτης εὔχεται γενέσθαι τοὺς τρόπους, ἵνα ὥσπερ

διολισθάνειν καὶ φεύγειν δύνηται τοὺς δανειστάς. καὶ μέχρι δεῦρο τοὺς τῇ γνώμῃ σκάζοντας καὶ μηδὲν σταθερὸν φρονοῦντας, καὶ ἄλλο μὲν ἐπαγγελλομένους, ἄλλο δὲ φρονοῦντας καὶ πράσσοντας, διὰ τὸ τῆς γνώμης ὀλισθηρὸν καὶ ἄπιστον γλοιοὺς καλοῦμεν. In Rav. praeterea legitur: γλοιὸς, μιαρὸς καὶ ῥυπαρὸς καὶ μικρολίγος. Eadem habet Suid. s. v. Inde quum γλοιάς vix aliam vim habuerit atque γλοιὸς — nisi forte γλοιὰς vel apud Sophoclem accusativus pluralis fuit — equam inconstabilem atque contumacem designari veri est simile. Apte Ellendtius (Lex. I. p. 469.) cum illis locis comparavit Bekk. An. p. 233, 7. γλοιάζειν τὸ τοῖς ὄμμασιν ἐπιμύοντα μυκτηρίζειν καὶ κακοηθεύεσθαι. οἱ δὲ διαγελᾶν., haud probabiliter vero in πολυδίκ latere coniecit φιλοδακής. Exspectatur enim vocabulum, quod ad inconstantiam et mobilitatem pertinet, v. c. πολυάϊξ vel simile quoddam.

CCXXVIII. (906.)

Hesych. Γνώμων, συνετός. Σοφοκλῆς. cf. Aesch. Ag. 1101.

CCXXIX. (907.)

Trypho περὶ τρόπων in Mus. crit. Cantabrig. I. p. 50. Walzii Rhet. VIII. p. 741. (Ὀνοματοποιία κατ' ἐναλλαγήν·) ὡς παρὰ Σοφοκλεῖ

Οἱ γὰρ γύνανδροι καὶ λέγειν ἠσκηκότες.

ἀντὶ τοῦ οἱ ἀνδρόγυνοι. — Welcker p. 400 ad Phaedram refert.

CCXXX. (908.). *

Etym. M. p. 254, 53. Δελήτιον, τὸ δέλεαρ. Σοφοκλῆς· ἔχε τὸ δελήτιον. ἢ Σώφρων. Recte a Sophocle abiudicasse videtur Brunckius.

CCXXXI. (909.)

Schol. Apollon. Rhod. III, 281. Ὀξέα δενδίλλων·) ἀντὶ τοῦ συστρέψας ἑαυτὸν καὶ ἀποκαλύψας, ὀξέως παρεπιστρεφόμενος, καὶ εἰς αὐτὸν τοῖς ὀφθαλμοῖς ἐπινεύων. Ὅμηρος δὲ ἐπὶ τοῦ στρέφειν τέθεικε τὴν λέξιν, τὸ ἐν ἐπιστροφῇ τοῦ προσώπου παρεκκλίνοντα τοῖς ὀφθαλμοῖς ἐπινεύειν, καθάπερ Ἀπολλόδωρος. Σοφοκλῆς δὲ ἐπὶ τοῦ περιβλέπειν τέθεικε τὴν λέξιν. cf. Etym. M. p. 255, 20. δενδίλλων, διανευόμενος. παρὰ τὸ δινεῖν τοὺς ἴλλους ἤγουν κινεῖν τοὺς ὀφθαλμοὺς καὶ μεταφέρειν. Pollux. II, 52. ἰλλὸς δὲ ὑπὸ τῶν ποιητῶν καλεῖται, καὶ ἰλλώπτειν ἐν τῇ κωμῳδίᾳ τὸ παραβλέπειν, καὶ κατιλλώπτειν τὸ καταβλέπειν ἐπὶ πλεονασμῷ, καὶ δενδίλλειν. ὁμοίως τὸ τὼ ὀφθαλμὼ παραβάλλειν. Suid. δενδίλλων, τοῖς ὄμμασι νεύων.

CCXXXII. (910.)

Pollux. III, 73. Οὐ γὰρ προσίεμαι τὴν Σοφοκλέους δεσπότειραν ἢ τὴν Εὐριπίδου δεσπότιν.

CCXXXIII. (911.)

Etym. M. p. 265, 23. *Δημόκοινος·* δημόσιος βασανιστής· ἢ ὁ δήμιος, ἤγουν ὁ ἐκ τοῦ δήμου τὸ φονεύειν κληρωθείς. Σοφοκλῆς

Οἷος γὰρ ἡμῶν δημόκοινος οἴχεται.

cf. Antipho I, 20. Isocr. 15, 17. Harpocr. s. v. Phryn. p. 474. sq. ed. Lobeck. Suid. s. v. Hellad. ap. Phot. p. 1589.

CCXXXIV. (912.)

Pollux. IX, 158. καὶ ὁ ἀνὴρ φυγὰς ἐξόριστος, ἀλήτης, πλανήτης, πλάνης. ἐκ δὲ τῶν λοιπῶν μετοχαί: τραγικὸς γὰρ ὁ παρὰ Σοφοκλεῖ *διωκτὸς* κτλ.

CCXXXV. (913.)

Hesych. *Ἐγκότημα*, ὀργή, μανία. εἰ μὴ ἄρα ἰσοδυναμεῖ τῷ κότῳ. καὶ *ἐνεκότουν* παρὰ Σοφοκλεῖ. cf. Aesch. Choeph. 41.

CCXXXVI. (914.)

Etym. M. p. 313, 1. (praemisso fgm. 413. pergit:) καὶ τὸ πῦρ, οἷον

Ἔγχος ἱέμενον

τὸ τὴν ὁρμὴν ἔχον. Brunckius haec ad fgm. 502. refert, sed vide quae illic monuimus.

CCXXXVII. (915.)

Etym. M. p. 333, 40. *Ἔλυτρον*, κάλυμμα, ἐκπέτασμα, ἐνείλημα. ὁμοίως καὶ ἡ θήκη τοῦ τόξου. καὶ πληθυντικῶς Σοφοκλῆς *ἔλυτρα*. cf. Orio. p. 63, 31. *ἔλυτρον*, τὸ ἔλυμα τοῦ τόξου. Suid. s. v. *ἔλυτρον*· κάλυμμα, ἐκπέτασμα. ἐνείλημα ὁμοίως καὶ ἡ θήκη τοῦ δόρατος. σημαίνει δὲ καὶ τὸ τοῦ ὀστρέου ὄστρακον.

CCXXXVIII. (916.)

Etym. M. p. 344, 40. *Ἐνολμίς*· ἦν τι γένος μάντεων οὕτω καλούμενον, διὰ τὸ τοὺς ἐν ὅλμῳ κοιμηθέντας [μαντικοὺς] γίγνεσθαι. ὅλμοι δὲ λέγονται οἱ τρίποδες τοῦ Ἀπόλλωνος. ὅθεν καὶ παροιμία· ἐν ὅλμῳ εὐνάσω. ἀντὶ τοῦ μαντικός [γενήσομαι.] ὁ δὲ Σοφοκλῆς *ἐνόλμιος* ἀντὶ τοῦ μαντικός. Recte monuit A. Nauckius (ad Aristoph. Byz. p. 239.) si ἐνολμίς genuinum, μαντέων corrigendum in μαντειῶν (vel μαντειῶν) videri; sin μάντεων verum, ἔνολμος vel ἐνόλμιος legendum. cf. Zenob. III, 63. Ἐν ὅλμῳ εὐνάσω· οἱ μὲν Ὅλμον μάντιν φασίν· οἱ δέ, τοὺς ἐν ὅλμῳ κοιμηθέντας μαντικοὺς γίγνεσθαι, ὅθεν καὶ παροιμίαν γενέσθαι. καὶ Ἀριστοφάνης ὁ γραμματικός φησιν, ὡς οἱ ἐν ὅλμῳ κοιμηθέντες μαντικοί· καὶ τοὺς τρίποδας τοῦ Ἀπόλλωνος ὅλμους καλεῖσθαι, καὶ Ἀπόλλων ὑπὸ Σοφοκλέους *ἔνολμος*. Similia habent Schol. Aristoph. Plut. 9. Hesych. v. ἐν ὅλμῳ εὐνάσω. Pollux. X, 81. Proverb. Bodl. 375. Suid. v. ἐν ὅλμῳ ἐκοιμήθη. Eustath. ad Hom. Il. λ', 147. p. 836, 45. De re

vid. O. Mueller. de trip. Delph. diss. 16. — A. Nauckius locum haud improbabiliter ad Amphiaraum refert.

CCXXXIX. (917.)

Philemon. Gramm. p. 51. Etym. M. p. 346, 15. Ἐξάκλινον, ἐξάπουν· Ἀττικῶς μὲν ἕξπουν καὶ ἕξκλινον λέγεται, ὥσπερ καὶ παρὰ Σοφοκλεῖ ἑξπηχυστί. cf. Eustath. p. 450, 44. Blomfield. adnot. ad Aesch. Prom. 878. Lobeck. ad Phryn. p. 413.

CCXL. (918.)

Eustath. p. 1562, 38. Ἔπηλις, ἡ ἐπὶ τοῦ προσώπου μελανία, καὶ τὸ πῶμα τῆς λάρνακος, ὥς φασιν οἱ παλαιοὶ κατὰ τὸν Σοφοκλέα. ἡ δ' αὐτὴ καὶ ἔφηλις κοινῶς, ὡς ἀπὸ τοῦ ἥλου. cf. Gramm. in Bekk. An. p. 424 et Suid. v. ἀπηλιώτης. ὁ ἄνεμος. ἐν τῷ η (π Bekk.). καὶ ἀντήλιος καὶ πάντα τὰ ὅμοια ψιλῶς. καὶ ἡ ἔπηλίς ἐστι παρὰ Ποσειδίππῳ. Hesych. s. v.

CCXLI. (919.)

Pollux. III, 145. Τοὺς δὲ βραβευτὰς καὶ ἐπιστάτας ὠνόμαζον, ὅθεν καὶ τὸ βραβεύειν ἐπιστατεῖν Σοφοκλῆς.

CCXLII. (920.)

Cram. Anecd. Gr. Oxon. Vol. IV. p. 329, 19. Τὸ ἐτὴρ παρὰ τὸ ἔτος. Σοφοκλῆς·

Ἐτῆρας ἄμνους θεοῖς ἐρέξας ἐπακτίοις.

γράφεται δὲ καὶ εὐείρας. — De hoc fragmento sic disputat Schneidewinus (in Coniect. crit. p. 100.): „si haec ex fabula satyrica sunt, leni accentus mutatione res transigitur in v. ἔρεξας: sin minus, θεοῖσι ῥέξας ἀκτίοις probabile erit a poeta profectum esse. Verum alios εὐείρας legendo numeros pessumdedisse quis credat? Vide de h. v. Ellendt. Lex. I. p. 701. Dubitanter εὐῆρας proposuerim, quod rediret ad idem q. e. εὐήρ, ut Homericum ἐρίηρες ἑταῖροι ad nominativum ἐρίηρ. Estque id fortasse reponendum apud Hes. εὐῆρας ἵππους, εὐαγώγους καὶ εὖ ἡρμοσμένους. Possis εὐῆρας. Sed cod. Ven. εὐηρέας. Ceterum ἐτῆρες ἄμνοι diis litoralibus sacrificati admonent Homericorum βοῦν ἦνιν, εὐρυμέτωπον, quae vovetur Minervae. Litorales autem dii sunt Pan (Theocr. V, 14.), Apollo (Apoll. Rhod. I, 404.), Venus etc." — L. Dindorfius in Steph. Thes. s. v. scribi iussit: εὔειρας ἄμνους κτλ. ut esset heterocliton pro εὐείρους improbante Lobeckio Patholog. p. 164. not. 50., qui ipse vocem ἐτῆρας non mutavit, quamvis eam commenticiam dixerit, in medio vero versu correxit: θεοῖσι ῥέξ' h. e. *immola*. Ahrens dedit: ἔρεξ' ἐπακτίοις. Equidem nescio an fuerit: ἐπῆρας ἄμνους θεοῖσι ῥέξας ἀκτίοις —: Quo pertinuerit: ἐπῆρας (ab ἐπαίρω), nunc sane, quum et antecedentia et sequentia interierint, dici nequit.

CCXLIII. (921.)

Plut. Coniug. praec. 42. p. 144. B. καλῶς τὴν Ἀφροδίτην ὁ Σοφοκλῆς εὔκαρπον Κυθέρειαν προσηγόρευσε. Idem Amator. XIII, 8. p. 756. E. praemisso Eurip. fgm. 839. ζείδωρον γὰρ αὐτὴν Ἐμπεδοκλῆς, εὔκαρπον δὲ Σοφοκλῆς ἐμμελῶς πάνυ καὶ πρεπόντως ὠνόμασεν.

CCXILV. (922.)

Gramm. in Bekk. An. p. 1376. Εὐνοῦχοι οἱ τὴν εὐνὴν ἔχοντες, ὡς γεοῦχοι. εὐνούχους δὲ Σοφοκλῆς καὶ τοὺς ὀφθαλμοὺς τοὺς εὔνεις καὶ μὴ μετασχόντας ὕπνου, τουτέστι τηροῦντας·

οὐχ ὅπου λαμπάδες εὐνούχοις ὄμμασιν.

CCXLV. (923.)

Phot. p. 37, 9. Εὐορνιθίαν. Σοφοκλῆς ἐπὶ οἰωνῶν. Eustath. p. 1439, 36. Εὐορνιθία, κατὰ τοὺς παλαιοὺς [ὡς addendum videtur] παρὰ Σοφοκλεῖ τὸ ἀγαθὸν οἰώνισμα.

CCXLVI. (924.)

Etym. M. p. 462, 25. — Τὸ παρὰ τὸ τύχη διὰ τοῦ ι. εὐτυχία· εὕρηται καὶ εὐτύχεια παρὰ Σοφοκλεῖ.

CCXLVII. (925.)

Pollux. VII, 185. (allato fgm. 932. pergit:) βοηλάται, βουφορβοί, βουκάπηλοι, ζευγηλάται. Σοφοκλῆς δ' ἔφη

ποππύζεται ζευγηλατρίς.

Ellendtius ad Scyrios referri vult propter Eurip. fgm. 678, quod Hesychii errore Euripidi adscribatur. — De voce ποππύζειν vide quae disputavit A. Gell. N. A. IX, 9.

CCXLVIII. (926.)

Phot. p. 53, 25 et omisso poetae nomine Antiatt. Bekk. p. 98, 7. Ζημίαν λαβεῖν. ἀντὶ τοῦ ζημιωθῆναι. οὕτως Σοφοκλῆς.

CCXLIX. (927.)

Pollux. VI, 161. καὶ ἡμίκακον δὲ Εὐκλείδης λέγει καὶ Σοφοκλῆς, Ἀριστοφάνης δὲ (Thesm. 449.) καὶ ἡμικάκως. cf. Phryn. p. 336. ed. Lobeck.

CCL. (928.)

Etym. M. p. 450, 48. Θήλεια, ἐκ τοῦ θῆλυς, ἢ παρὰ τὸ θάλλειν καὶ γεννᾶν. ὅθεν καὶ ἡ ὑπόμβρος νὺξ παρὰ Σοφοκλεῖ θήλεια καλεῖται (διὰ τὸ θάλλειν ἐν αὐτῇ τοὺς καρπούς. addit Etym. Guelph.

MSS. ap. Gaisf.) Apte cum hac dictione comparetur Homericum (Od. ε', 467.) et Hesiodium (Scut. Herc. 395.) θῆλυς ἐέρση.

CCLI. (929.)

Choerobosc. Dictat. in Theodos. (ap. Bekk. p. 1381.) p. 219, 7. ed. Gaisf. Τὸ θήλυδος παρὰ τῷ Σοφοκλεῖ κλιθὲν διὰ τοῦ δος ἡμάρτηται.

CCLII. (930.)

Herodian. περὶ ιλ. προσῳδ. III, 279. (p. 217. ed. Lehrs.) ap. Schol. Hom. Il. γ'. 219. Ταύτης δὲ τῆς εὐθείας ὀφείλει γενικὴ ἐκπίπτειν ἀΐδρεος καὶ ἀΐδρει· οὐ γὰρ δή γε διὰ τοῦ δ. οὐ γάρ ἐστι παρώνυμον μακρᾷ παραληγόμενον. ἀλλ' ὡς τὸ ἔχις πόσις ὄφις, οὕτως ὀφείλει κλίνεσθαι. ὥστε ἐκ τοῦ ἐναντίου ἁμάρτημα τὸ παρὰ τῇ Σαπφοῖ (fgm. 156. Bergk.), τὸ πολυΐδριδι, εἰ μὴ ἄρα ὁμοίως Ἀττικοῖς ἐκλίθη. ὁ γὰρ Σοφοκλῆς ἴδριδα ἔφη τὴν αἰτιατικήν, ὅ τε Φρύνιχος τὴν εὐθεῖαν ἴδριδες. Haec male excerpserunt Etym. M. p. 42, 40 et Eustath. p. 407, 38.

CCLIII. (931.)

Etym. M. p. 470, 102. Gaisf. Ἴκτινα, τὴν λεγομένην λουπίδα. προπαροξύνεται αἰτιατικὴ, ὡς παρ' Ἀριστοφάνει „ἴκτινα παντόφθαλμον ἅρπαγα στέφων." οὐκ ἔστι γὰρ ἀπὸ τῆς ἴκτιν εὐθείας, οὐδαμοῦ γὰρ εἴρηται ἐν χρήσει ἡ εὐθεῖα, ἀλλ' ἐκ τοῦ ἴκτινος. Σοφοκλῆς

Ἴκτινος ἔκλαγξε παρασύρας κρέας.

ἡ γενικὴ ἰκτίνου ἰκτίνῳ καὶ κατὰ μετάπλασμον ἴκτινα. Cod. Havn. ap. Gaisf. habet Ἴκτινα. εἶδος ὀρνέου ἁρπατικοῦ ἐν ἔαρι φαινομένου. Σοφ. ἴκτινος ἔκραξε παρασύρας κρέας. (sic.) Item Zonar. p. 1100. Rectius vero Choerobosc. Dictat. ad Theodos. (ap. Bekk. 902.) p. 278, 27. ed. Gaisf. Ἴκτινος ἡ εὐθεῖα, ὡς παρὰ Σοφοκλεῖ

Ἴκτινος ὡς ἔκλαγξε παρασύρας κρέας.

nisi quod παρὰ σύραν praebet. — De accentu ἴκτινος vel ἰκτῖνος vide quae ad fgm. 115 monuimus.

CCLIV. (932.)

Pollux. VII, 185. Ἱπποφορβοὶ ἱπποφορβία, καὶ ὡς Σοφοκλῆς ἱπποβουκόλοι, ἱπποφορβεῖς. Illud agnoscit et explicat Etym. M. p. 113, 40. ἱπποβουκόλος — ὁ τοὺς ἵππους βόσκων. Adhibuit Eur. Phoen. 28.

CCLV. (933.)

Athen. II. p. 52. B. Οἱ Ἀττικοὶ καὶ οἱ ἄλλοι συγγραφεῖς κοινῶς πάντα τὰ ἀκρόδρυα κάρυα λέγουσιν — — — τὸ δὲ δένδρον καρύα παρὰ Σοφοκλεῖ

Καρύαι μελίαι τε.

CCLVI. (934.)

Phot. p. 151, 14. *Καῦρος. κακός. οὕτως Σοφοκλῆς.* Apud Phot. est *καυρός*, sed de accentu extat praeceptum Arcadii p. 69, 21. *τὰ εἰς ρος δισύλλαβα ἐπὶ ἐμψύχων τιθέμενα τῇ αυ διφθόγγῳ παραληγόμενα βαρύνεται, φλαῦρος, σαῦρος, καῦρος ὁ κακός.* et sic legitur in Etym. M. p. 493, 54. et 530, 17. Vox A. Nauckio (Philol. IV. p. 542.) in Trach. 958. pro *μοῦνον* inferenda videtur; haud male.

CCLVII. (935.)

Etym. M. p. 509, 54. *Κέκονα. παρὰ Σοφοκλεῖ. ἀπὸ τοῦ κτείνω, ὁ μέσος παρακείμενος, ἔκτονα, πλεονασμῷ τοῦ κ καὶ ἐκβολῇ τοῦ τ* (*κέκονα* addit cod. Havn.). Eadem tradit Choerobosc. Dictat. in Theodos. p. 552, 52. Gaisf.

CCLVIII. (936.)

